Ν. Ζαρίφης, Ξ. Στεφάνοβικ, Α. Βαλλιάνος, Δ. Βλαστός, Γ. Κορωνιός, Ε. Εὐγενίδης, Π. Κλάδος, Α. Νικολόπουλος, Βερίσης καὶ Κοσούδης, Β. Σουβατζόγλους, Στ. Ῥάλλης, Π. Σεκιάρης, Π. Καμάρας, Α. Βαλτατζῆς, Ε. Βαλτατζῆς, Β. Βαλτατζῆς, Α. Χ. Κώστα, Γ. Ἀναστασιάδης, Θ. Γιάνναρος, Δ. Καλβοκορέσης, Κ. Καραπάνος, Κ. Καραθεοδωρῆ, Σ. Κέπεντζης, Θ. Σουβατζόγλους, Κ. Ἠλιάσκος, Δ. Σεβαστόπουλος, Δ. Ταμβάκος, Π. Ἰγγλέσης, Α. Μαυρογορδάτος, Ι. Ν. Κρικότζος, Δ. Σγούτας, Δ. Κοκκώνης, Ἀλ. Πασπάτης, Α. Σβορῶνος, Δ. Τερεινός, Ἀλ. Μίχογλους, Ξ. Χατζόπουλος, Ι. Σισμάνογλους, Δ. Δημητρακόπουλος, Ι. Θεοδωρίδης, Δ. Ψυχάρης, Σ. Κελαϊδίτης, Π. Στέργιος, Ι. Ἀντωνιάδης, Π. Πορτοκάλλης, Ἀδελφοὶ Χ. Θεολόγου.

Ἐν δὲ Ῥωμουνίᾳ

Ἐν μὲν Βραΐλᾳ

Μ. Στ. Ῥοδοκανάκης, Ι. Οἰκονόμου, Ι. Φάραγγας, Δ. Ἀναγνωστόπουλος, Ι. Σουλιώτης, Ἀδελφοὶ Κωνσταντίνου Λουκᾶς καὶ Ἀντώνιος, Ι. Μπότσαρης, Γ. Ἀντύππας, Μ. Κατζούλης.

Ἐν δὲ Γαλαζίῳ

Κ. Σακομάνος, Ε. Λαμπρινίδης, Π. Ἄκατος, Σ. Τοπάλης, Κ. Μπακάλπασης, Γ. Σαρηγιάννης, Δ. Ῥοδοκανάκης, Ι. Σεκιάρης, Μ. Νικολάου, Γ. Χ. Δράκος, Χ. Μακρής.

Ἐν δὲ Καλαφατίῳ

Ν. Κούμπας, Ἀδελφοὶ Χ. Παναγιώτου.

Ἐν δὲ Γιουργέβῳ

Ε. Λιτζαρόπουλος, Κ. Κόκκινος.

Digitized by Google

ἐτησίαν αὐτῶν ὑπὲρ τῶν ἐν ταῖς ἐπαρχίαις ἀπόρων σχολείων ἐξαιτούμενος συνδρομήν, γράψας πρὸς τοὺς ἐν ταῖς παριστρίοις ἡγεμονίαις, καὶ πρὸς τοὺς ἐν τῇ μεσημβρινῇ Ῥωσσίᾳ, καὶ πρὸς τοὺς ἐν Βιέννῃ, καὶ τοὺς ἐν Τεργέστῃ, καὶ τοὺς ἐν Μασσαλίᾳ, καὶ τοὺς ἐν Λονδίνῳ, καὶ τοὺς ἐν Μαγχεστρίᾳ, καὶ τοὺς ἐν Λιβερπούλῃ, καὶ τοὺς ἐν Ἀλεξανδρείᾳ καὶ τοὺς ἐν Καΐρῳ.

Ἐν δὲ Τούρνῳ Μαγουρελίῳ

Ὀδυ. Καραβίας, Κ. Πατζούρας.

Ἐν δὲ Βουκουρεστίῳ

Μ. Ξανθός, Γ. Κ. Σοῦτζος, Κ. Σιμωνίδης, Λ. Καλεντέρογλους, Κ. Δερούσης, Δ. Τσερλέντης, Γ. Γερμάνης, Ἀδελφοὶ Γερμάνη, Δ. Φωτεινὸς Ἰατρός, Δ. Πολυμέρης.

Ἐν δὲ Ἰασίῳ

Κ. Θ. Μπαστάκης, Κ. Νικολαΐδης, Χ. Μάσιος, Π. Βαλλιάνος.

Ἐν δὲ τῇ μεσημβρινῇ Ῥωσσίᾳ,

Ἐν Ταϊγαρίῳ

Μάρκος Βαρβάκης, Ἰωάννης Π. Σκαραμαγκᾶς, Ἰωάννης Ἀμβρ. Σκαραμαγκᾶς, Συμεών Συνόδης Ποπώφ, Μαρὴς Βαλλιάνος, Δημήτριος Νεγρεπόντης, Δημήτριος Πετροκόκκινος, Ἀντώνιος Σφαέλλος, Ἠλίας Ἡσαΐας, Γεώργιος Ἀνάργυρος, Ἀντώνιος Κρεσδιρόπουλος, Βρ. Δαλλαπόρτας, Δημήτριος Κοντογιαννάκης, Δημήτρ. Μανούσης, Μιχαὴλ Κούπας, Ἀδελφοὶ Σιφναῖοι, Διονύσιος Λουκάτος, Νικόλαος Φαλλιέρος, Θεαγένης Χ. Δαλλαπόρτας, Κωνσταντῖνος Ζαμπάτης, Ν. Λαμπάκης Ἀδελφοὶ Ταρλᾶ, Ἀριστείδης Τραυλός.

Ἐν δὲ Βιέννῃ

Βαρῶνος Σ. Σίνας, Γρηγόριος Ὑψηλάντης, Πρεσβευτὴς τῆς Ἑλλάδος, Γεώργιος Μαυροκορδάτος, Δούμπας, Κωνς. Γαλάτης, Μ. Οἰκονόμου, Ἀλεξ. Οἰκονόμου, Κόκκινος, Μεταξᾶς Γ. Πρόξενος τῆς Ἑλλάδος.

Ἐν δὲ Τεργίστῃ.

Ι. Σκαραμαγκᾶς, Πέτρος Σκαραμαγκᾶς, Δημ. Οἰκονόμου, Κωνς. Δ. Τοπάλης, Α. Σ. Ῥάλλης, Αὐγ. Ῥοδοκανάκης, Γεώργιος Ἀφεντούλης, Ἰωαν. Χατζῆ Κωστῆς, Γεωργαλᾶς, Μανοῦσαι, Θεοδ. Γ. Νικολέσσης, Ἰωαν. Κρίκος, Ἰωαν. Α. Δημητρίου.

Ἐν δὲ Μασσαλίᾳ.

Στεφ. Ζαφειρόπουλος, Θεόδ. Ῥοδοκανάκης, Αὐγ. Ῥάλλης, Λεωνίδ. Ἀργέντης, Θεοδ. Σεκιάρης, Ἀνδρ. Βαλλιάνος, Μηλ. Στ. Ῥοδοκανάκης, Στ. Μεταξᾶς Ἰατρός.

Ἐν δὲ Λονδίνῳ

Ε. Σ. Ῥάλλης, Μ. Σπάρταλης Γ. Πρόξενος τῆς Ἑλλάδος, Ι. Ε. Ῥάλλης, Ἀλέξ. Α. Βλαστός, Παντελῆς Τωμ. Ῥάλλης, Α. Ἀργέντης, Π. Σεκιάρης, Θ. Σκυλίτσης, Παντελ. Σεκιάρης, Ἀμβρ. Σεκιάρης, Μ. Ε. Ῥοδοκανάκης, Μιχαὴλ Γ. Μαυροκορδάτος, Α. Π. Πετροκόκκινος, Ἐμμ. Π. Ῥοδοκανάκης, Ἰω. Σκυλίτσης, Ἰω. Ζ. Σκυλίτσης, Π. Ἰω. Σκυλίτσης, Δημ. Ζ. Σκυλίτσης, Μιχαὴλ Φ. Πασπάτης, Κ. Γεραλόπουλος, Π. Ἐμπεδοκλῆς, Μ. Α. Σεβαστόπουλος, Κωνς. Σεβαστόπουλος, Δ. Ῥοδοκανάκης, Α. Θ. Ῥάλλης, Θ. Λ. Ῥάλλης, Γ. Ε. Σκαραμαγκᾶς, Μιχαὴλ Νασήφ, Θ. Μ. Γερούσης, Ἀριστομένης Μ. Γερούσης, Παντ. Α. Μαυροκορδάτος, Γ. Ι. Καβάφης, Σ. Διλπέρογλους, Σ. Μαυρογιάννης Α. Σ. Μαυρογιάννης, Α. Α. Ῥάλλης, Π. Α. Ῥάλλης, Ἰω. Μ. Ἀγέλαστος, Θ. Κορωνιός, Μ. Ν. Αὐγερινός, Α. Ν. Αὐγερινός, Στ. Α. Ῥάλλης, Σ. Σερ. Γαλάτης, Π. Κ. Ῥάλλης, Στέφ. Φραγκιάδης, Ἐμμ. Φραγκιάδης, Κ. Γ. Βαλλῆς, Δημήτριος Α. Τζοκανάκης, Δημ. Ε. Πετροκόκκινος, Εὐστρ. Ε. Πετροκόκκινος, Α. Κ. Ἀγέλαστος, Μ. Ζαρίφης, Περ. Ζαρίφης, Κ. Μπαλλῆς, Ἰωαν. Ξ. Μπαλλῆς, Ἀνδρ. Π. Σκαραμαγκᾶς, Λουρεντζῆς Π. Σκαραμαγκᾶς, Ἀριστείδης Εὐμορφόπουλος, Ὀκτάβιος Βαλιέρης, Π. Α. Βαλλιάνος, Ι. Κ. Ὅμηρος, Βασ. Νικολόπουλος, Βασ. Μελᾶς, Δημ. Βικέλας, Εὐς. Ἰωαννίδης, Ἀμβρ. Ι. Ῥάλλης, Ν. Δ. Τσοῦκος, Λ. Ζίφος, Γ. Α. Ζίφος, Ἀντ. Ε. Μαυρογορδάτος, Ἐμμ. Α. Μαυρογορδάτος, Π. Π. Ῥοδοκανάκης, Παντ. Ν. Αὐγερινός, Μ. Ζ. Ῥοδοκανάκης Δ. Μ. Κατηνάκης, Π. Σιναννίδης, Π. Ἄκατος Δ. Σ. Σεβαστόπουλος, Διονύσιος Ἀντζιλότης, Ν. Βογιατζόγλους, Δ. Μ. Παπαρρήτωρ Δ. Μ. Κόλλας, Π. Κ. Σκλάβος.

Ἐν δὲ Μαγχεστρίᾳ

Ε. Χ. Ἀδὰμ καὶ Σα, Ν. Ἀδαμίδης καὶ Σα, Μ. Ἀλεξιάδης, Ν. Α. Ἀλφιέρης, Ρ. Ἀνδρουλῆς, Ἀργέντης Σκυλίτσης καὶ Σα, Δ. Π. Ἀποστόλου, Ι. Ο. Ἀσλάν, Κ. Α. Ἀθανασόπουλος, Α. Β. Αὐγουστῖνος, Βαρουχάκης καὶ Σα, Δ. Α. Βλαγομένος, Κ. Ι. Βούκουρας, Δ. Δ. Καλιμασσιώτης καὶ Σα, Ν. Κ. Καλογιάννης καὶ Σα, Γ. Δ. Καλβοκορέσης, Καμπούρωφ καὶ Λευθεριώφ Ι. Ε. Γέσωφ, Κ. Γ. Γίρος, Χαριτωνίδης καὶ Σα, Π. Μ. Ἔνεν, Α. Ἰωαννίδης καὶ Σα, Ν. Κ. Λάππας, Μ. Μίλκωφ, καὶ Σα, Ι. Μιταράγας, Β. Μ. Ναγιὰρ καὶ Σα, Δ. Γ. Νεροῦτζος καὶ Σα, Δ. Παλαιολόγος καὶ Σα, Ε. Γ. Πανᾶς, Ι. Παπαδάκης, Π. Ζ. Πετροκόκκινος, Α. Χ. Πρώϊος, Ῥακτιβάν, Ῥάλλης, Ῥάλλης καὶ Μαυρογιάννης, Κ. Δ. Ῥοδοκανάκης, Ῥοδοκανάκης, Ῥοδοκανάκης καὶ Σα, Ι. Σαγραντῆς καὶ Σα, Σκυλίτσης καὶ Σα, Σκρίνης, Σεκιάρης, Γ. Κάρταλης καὶ Σα, Ε. Κάσδαγλης, Κεφαλᾶς, Σ. Χριστοδουλίδης καὶ Σα, Κ. Σ. Σκιλιτήρας, Κ. Κων-

Digitized by Google

Ἐπειδὴ δὲ οὐκ ὀλίγοι, καίπερ τὴν πατρίδα ὑπερφιλοῦντες, ἕνεκα ὅμως τῆς μακροχρονίου ἐν ξένῃ καὶ εὐδαίμονι χώρᾳ διαμονῆς φαίνονται τὰ πλεῖστα ἀγνοοῦντες τῶν δεινῶν αὐτῆς παθημάτων, καὶ οἷους οἱ ἐν τῇ φυσάσῃ μένοντες γῇ πρὸς ἀποσόβησιν τῶν ἐπερχομένων κινδύνων ὑπομένουσιν ἀγῶνας, συναπέστειλε καὶ τοὺς τρεῖς τοῦ περιοδικοῦ αὐτοῦ τόμους μετὰ τῶν ἐκθέσεων, ὅπως ἀναγνόντες ἴδωσι, πῶς ἔχουσι τὰ τῆς δημοτικῆς παιδεύσεως ἐν ταῖς ἡμετέραις χώραις, καὶ τί ὑπὲρ τῶν ἀπόρων σχολείων πράττει ὁ Σύλλογος, καὶ διὰ τί τὴν ἐτησίαν αὐτῶν ἐπικαλεῖται συνδρομήν. Μάθε, λέγει πρὸς αὐτούς, ὦ Θρᾴξ, ὦ Μακεδών, ὦ Θεσσαλέ, ὦ Ἠπειρῶτα, ὦ Χῖε, ὦ Σμυρναῖε καὶ πάντες οἱ ἄλλοι γόνοι τῆς ἄλλοτ' ἀκμαζούσης ἐλάσσονος Ἀσίας, μάθετε ὅτι ἡ ἑλληνικὴ παιδεία καὶ τὰ γράμματα ἐν ταῖς ἡμετέραις χώραις οὐκ ἀνθοῦσι νῦν οὐδ' ἀκμάζουσι. Μάθετε, ὦ ἁπανταχοῦ γῆς διεσπαρμένοι Ἕλληνες, ὅτι πολλά εἰσιν ἐκ τῶν ἡμετέρων τὰ ἄπορα σχολεῖα ἐν ταῖς ἐπαρχίαις τῆς ὀθωμανικῆς αὐτοκρατορίας, γενναίαν παρ' ὑμῶν ἀρωγὴν καὶ ὑποστήριξιν προσδοκῶντα. Μάθετε, ὅτι ὁ Φιλολογικὸς Σύλλογος μετ' ἄλλων τὴν φροντίδα ἀνεδέξαντο, ὅπως διὰ τῆς διαδόσεως τῶν φώτων τὴν σκοτόμαιναν τῆς ἀμαθείας ἀπὸ τῶν ἡμετέρων χωρῶν διασκεδάσωσι.

Τίς προσκαλούμενος τὴν ἑαυτοῦ συνδρομὴν χορηγῆσαι ἀπαρνήσεται; Οὗτοι μόνον, ὅσοι ὅμοιοι τοῖς τοῦ Ὀδυσσέως ἑταίροις ὑπὸ τῶν ἡδυπαθειῶν τῆς Κίρκης *ξενιτείας* τόν τε νοῦν καὶ τὴν καρδίαν διεφθάρησαν, τὴν μνήμην τῆς πρότερας αὐτῶν καταγωγῆς ἀπολέσαντες, τὰ δ' ἐν ξένῃ γῇ γεννώμενα αὐτῶν τέκνα ἐῶντες ἀμελῶς καὶ ξενικῶς ἐξ ἁπαλῶν ὀνύχων παιδαγωγεῖσθαι μετ' ὀλιγωρίας καὶ ξενιζούσης προφορᾶς ἢ καὶ οὐδόλως τὴν μητρικὴν αὐτῶν γλῶσσαν ἐκμανθάνοντα. Ὁ χρόνος δείξει τίνες οὗτοι καὶ πόσοι καὶ ποῦ διαμένουσιν. Ὁ Σύλλογος ὅμως πρὸς τοὺς ἁπανταχοῦ εὐποροῦντας ὁμογενεῖς ἐπιστολὰς ὑπὲρ τῶν ἀπόρων σχολείων πέμψας ἄφθονον τὴν τῶν συνδρομῶν ἤλπιζε συγκομιδήν, τεκμαιρόμενος τοῦτο τὸ μὲν ἐκ τῆς φιλοπατρίας καὶ φιλογενείας τῶν πρὸς οὓς ἔγραψε, τὸ δ' ἐκ τῆς φιλοτιμίας καὶ τοῦ ζήλου τῶν πρὸς οὓς ἀνέθετο τὴν φροντίδα (1)· οἷς πᾶσιν ὁ Σύλλογος τὰς εὐχαριστίας αὐτοῦ ἀπονέμει καὶ δημοσίᾳ ἐν ταύτῃ τῇ ἐπισήμῳ πανηγύρει.

σταντινίδης, Σ. Ο. Κωνσταντίνου, Μ. Α. Κοπτσίλης καὶ Σα, Μ. Κουβελᾶς Α. Ἀρ. Δάλλας, Ι. Δαμαλλᾶς καὶ Σα, Γ. Δ. Ἠλιάσκος, Φωτιάδης, Δ. Φραγκίδης, Α. Φραγκόπουλος, Ν. Σ. Φραγκόπουλος καὶ Σα, Δ. Γαβριηλίδης καὶ Σα, Σ. Α. Σεβαστόπουλος, Σεβαστός, Σ. Σμυρινούδης, Α. Σοφιανός, Π. Σουβατζόγλους καὶ Σα, Ι. Σταυρίδης καὶ Σα, Γ. Α. Σούρσση, Π. Ταμβάκης, Γ. Ταμβάκος, Μικρουλάκης, Μαυρογορδάτος, Θεοφιλίδης, Γ. Θεολόγος, Π. Θεολόγος, Γ. Τριανταφυλλίδης καὶ Σα, Δ. Τριανταφυλλος καὶ Σα, Ε. Βασιλόπουλος, Ν. Δ. Τζαλίκης, Ι. Ζαχαράκης καὶ Σα, Ζερβουδάκης, Τ. Ῥεβελάκης Ι. Τζικαλιώτης καὶ Σα, Κ. Ι. Ζυγομαλᾶς, Π. Τσόλας.

Ἐν δὲ Λιβερπούλῃ

Ἀδελφοὶ Ῥάλλη, Ῥάλλης καὶ Ψύχας, Γ. Μ. Παπαγιάννης Φραγκιάδης καὶ Ῥοδοκανάκης, Γεωργαλᾶς καὶ Σα, Ῥάλλης καὶ Μαυρογιάννης, Δ. Α. Μαυρογορδάτος, Κασσαβέτης καὶ Σα, Φραγκόπουλος καὶ Σα, Ι. Α. Καρυδιᾶς, Π. Δ. Ῥάλλης, Ἀργέντης Σκυλίτσης καὶ Σα, Α. Φακίρης, Μ. Κωνσταντινίδης, Α. Σ. Ἀγέλαστος, Π. Κοντόσταυλος, Π. Ζ. Ῥοδοκανάκης, Κ. Θ. Ῥοδοκανάκης, Π. Π. Νεγρεπόντης, Ἀδελφοὶ Νεγρεπόντη, Δ. Νικολόπουλος καὶ Σα, Γ. Εὐστρατιάδης, Α. Παπακαλός, Μάξιμος καὶ Δαμιανός, Α. Γαλάτης καὶ Κ. Νεγρεπόντης, Ν. Ζυγομαλᾶς, Καβάφης καὶ Σα, Ἐξάδελφοι Μπούστρου, Ἀδελφοὶ Νοταρᾶς, Ἀδελφοὶ Μαξίμου, Ι. Π. Σκυλίτσης, Ἀδελφοὶ Ἠλιάδου, Δ. Ν. Γιαννακόπουλος, Ε. Ἀναγνωστόπουλος, Σ. Ζυγομαλᾶς, Ι. Καράλης, Δ. Μ. Ἀγέλαστος, Ε. Π. Δράκος, Γ. Τύμπας, Ν. Μωραϊτίνης.

Ἐν δὲ Ἀλεξανδρείᾳ καὶ ἐν Καίρῳ

Ἰωάννης Ἀντωνιάδης, Γεώργιος Ἀβέρωφ, Ἰωάννης Δημητρίου, Βασίλειος Γεωργαλᾶς, Ἀντώνιος Νικολόπουλος, Σοφοκλῆς Κωνσταντινίδης, Θεόδωρος Ῥάλλης, Ἰωάννης Συναδινός, Ἀδελφοὶ Νεγρεπόντη, Ἀντώνιος Κανέλλης, Κ. Ζερβουδάκης, Μιχ. Ε. Σωτηρίου, Κωνς. Φιλίππου.

Τοσούτων καὶ τοιούτων ὄντων τῶν ὁμογενῶν πρὸς οὓς ὁ Σύλλογος ἔγραψεν ἐπιστολάς, δικαίως γενναίας παρ' αὐτῶν προσδοκᾷ τὰς ἐτησίας ὑπὲρ τῶν ἐν ταῖς ἐπαρχίαις ἀπόρων σχολείων συνδρομάς.

---

(1) Οἱ πρὸς οὓς ἀνέθετο τὴν φροντίδα εἰσὶν ἄνδρες ἐπὶ φελογενείᾳ γνωστότατοι· διότι ἐν μὲν Ῥωμουνίᾳ ὁ ἐν Γαλαζίῳ ἐστὶ Μ. Νεγρεπόντης.

Ἐν δὲ τῇ μεσημβρινῇ Ρωσσίᾳ ἐν μὲν Ὀδησσῷ Θ. Μαυρογορδάτος καὶ Ι. Βουτζινάς, ἐν δὲ Ταϊγανίῳ Δ. Πετροκόκκινος, ἀδελφοὶ Ταρλὰ καὶ Β. Δαλλαπόρτας,

Ἐν δὲ Βιέννῃ Θ. Λιβαδᾶς, ἐν δὲ Τεργέστῃ Δ. Θειρεανός,

ἐν δὲ Μασσαλίᾳ Α. Βαλλιάνος,

ἐν δὲ τῇ Ἀγγλίᾳ Ι. Βαλλέτας,

ἐν δὲ Ἀλεξανδρείᾳ καὶ Καίρῳ Α. Νικολόπουλος.

Digitized by Google

Καὶ τοιαῦτα μὲν τὰ ἔργα καὶ τὰ κατορθώματα τῶν ἐν Κων/πόλει ἐμπόρων καὶ τραπεζιτῶν, καὶ αἱ χρυσαῖ ἐλπίδες, ἃς ὁ Σύλλογος περὶ τῶν ἐν τῇ ἀλλοδαπῇ εὐπορούντων ὁμογενῶν τρέφει. Πολὺν περὶ αὐτῶν καὶ μακρὸν ἐξέτεινα τὸν λόγον, διότι τῇ συμπράξει καὶ συνεργασίᾳ τῶν ἐμπόρων καὶ τραπεζιτῶν μετὰ τῶν λογίων ἀποδοτέα ἡ τεραστία τοῦ Φιλογικοῦ Συλλόγου προαγωγὴ καὶ εὐδοκίμησις, ἡ σύστασις ἐν Κων/πόλει τοῦ Ἠπειρωτικοῦ, τοῦ Θρᾳκικοῦ, τοῦ Ἱερατικοῦ, τοῦ Θεσσαλικοῦ καὶ τοσούτων ἄλλων συλλόγων καὶ φιλεκπαιδευτικῶν ἀδελφοτήτων, ἡ ἵδρυσις τῶν διδασκαλείων τοῦ Θρᾳκικοῦ καὶ τοῦ Ἠπειρωτικοῦ Συλλόγου, ἡ βοήθεια καὶ ἡ ὑποστήριξις τῶν ἐν ταῖς ἐπαρχίαις ἀπόρων σχολείων, καὶ ὁ περιτρέχων τὰς ἐπαρχίας θερμὸς ὑπὲρ τῆς παιδείας ζῆλος καὶ ἱερὸς ἐνθουσιασμός, ὃς θερμαίνει καὶ ἐξάπτει αὐτὰς εἰς ἅμιλλαν, ὡς τὸ ἀπὸ τῆς καρδίας ὁρμώμενον καὶ κυκλοφοροῦν αἷμα θερμαίνει τὰ τοῦ σώματος ὄργανα καὶ διεγείρει τὴν ζωήν.

Εἰ δέ ποτε, φιλόμουσος ὁμήγυρις, κἀγὼ ἔπραξά τι ὑπὲρ τῶν συλλόγων καὶ τῶν ἑλληνικῶν γραμμάτων, ἔστι τοῦτο, ὅτι ὑπὲρ τοῦ στενοῦ συνδέσμου καὶ τῆς συμμαχίας τῆς παιδείας καὶ τοῦ πλούτου ἠγωνισάμην. «Ἔχωμεν πίστιν, ἔλεγον καὶ ἐν τῇ προεδρικῇ λογοδοσίᾳ τοῦ 1869, ἔχωμεν πίστιν εἰς τὴν σύμπραξιν καὶ συνεργασίαν τῶν ὀπαδῶν τοῦ λογίου καὶ τοῦ κερδῴου Ἑρμοῦ· ἐργαζώμεθα ἀπὸ κοινοῦ καὶ σκοπίμως ὡς τὰ μικρὰ ἐκεῖνα θαλάσσια ζωΰφια, ἃ συνεργαζόμενα τὰς παμμεγίστας τῶν νήσων ξηρὰς κατεργάζονται καὶ δημιουργοῦσι· καὶ τότε ἡμεῖς οἱ μικροὶ μεγάλα φρονοῦντες μεγάλα πράξομεν».

Καὶ τί μὲν οἱ τοῦ Ἐμπολαίου ὀπαδοὶ ἔπραξαν, εἴδομεν· ἴδωμεν δὲ νῦν καὶ τί κατὰ τὸ συλλογικὸν τοῦτο ἔτος ἔπραξαν οἱ θιασῶται τοῦ Λογίου. Ἐκ τῶν λογίων ὡς ἐπὶ τὸ πλεῖστον οἱ κυβερνῆται λαμβάνονται καὶ πηδαλιοῦχοι τῶν συλλόγων, οἵτινες ὡς ἀφ' ὑψηλῆς σκοπιᾶς τὰς ἐλλείψεις ἐπισκοποῦντες καὶ τὰς ἀνάγκας καὶ τὰς ὑφάλους καὶ τοὺς σκοπέλους, καὶ ταῦτα τοῖς πλουσίοις διαμηνύοντες τὴν βοήθειαν αὐτῶν ἐπικαλοῦνται, ὅπως παρ' αὐτῶν τὰ μέσα προσποριζόμενοι δι' ἐπιτηδείας οἰακοστροφίας τοὺς κινδύνους ἀποφεύγωσι καὶ διασώζωσι τὸ σκάφος ἐν καλῷ λιμένι. Ταχθεὶς δὲ πέρυσι κἀγὼ εἰς τὴν τοῦ Φιλολογικοῦ Συλλόγου κυβέρνησιν καὶ πηδαλιουχίαν, τὴν ἐτησίαν αὐτοῦ βαλιδοσκοπῆσαι κέλευθον καὶ θαλασσοπορίαν ἐπειράθην, ὅπως ἐκ τῶν προτέρων γνῶμεν τίνα πελάγη διαπεράσαι ἐμέλλομεν· ἦσαν δέ·

ά) Εὕρεσις δισχιλίων λιρῶν πρὸς ἀποπεράτωσιν τῆς οἰκοδομῆς.

β') Κατάρτισις τῆς δημοσίας τοῦ Συλλόγου Βιβλιοθήκης καὶ τοῦ Ἀναγνωστηρίου πρὸς ἐδραίωσιν καὶ τελείαν ἀποκατάστασιν τοῦ διανοητικοῦ καὶ ἠθικοῦ αὐτοῦ ἐποικοδομήματος.

γ') Ἀγορὰ ὀργάνων τῆς πειραματικῆς φυσικῆς καὶ χημείας.

δ') Κατάρτισις ἀρχαιολογικῶν, νομισματικῶν καὶ φυσιογραφικῶν συλλογῶν.

ε) Ἐπιστημονικὴ ἐξέτασις, συλλογή, συντήρησις καὶ ἰχνογράφησις τῶν ἐν ταῖς ἐπαρχίαις ἀρχαίων μνημείων.

ς') Συλλογὴ χειρογράφων, ἐπιγραφῶν, γεωγραφικῆς ὕλης κτλ.

ζ') Συλλογὴ τῶν ζώντων μνημείων ἐν τῇ γλώσσῃ τοῦ λαοῦ.

η) Εὕρεσις πόρων πρὸς ἔκδοσιν τῶν ἑλλήνων συγγραφέων.

θ') Φροντίδες περὶ συστάσεως 1) Ἱερατικοῦ ἐν Κων/πόλει Συλλόγου πρὸς ἐκπαίδευσιν τοῦ ὑποδεεστέρου κλήρου, 2) Μακεδονικοῦ πρὸς ὑποστήριξιν τῶν ἐν Μακεδονίᾳ ἀπόρων σχολείων, 3) Θεσσαλικοῦ ἐπὶ τῷ αὐτῷ σκοπῷ, 4) Γυναικείου Συλλόγου πρὸς διάδοσιν εἰς τὸ γυναικεῖον φῦλον τοῦ ἡμετέρου Γένους τῆς τε πρώτης καὶ τῆς μέσης παιδεύσεως.

ι) Μέριμναι περὶ ἱδρύσεως διδασκαλείων πρὸς κατάρτισιν δημοδιδασκάλων καὶ διδασκαλισσῶν καὶ περὶ συντάξεως τῶν κανονισμῶν αὐτῶν καὶ διοργανώσεως τῆς δημοτικῆς παιδεύσεως.

ια) Στενώτερος σύνδεσμος τοῦ ἡμετέρου Συλλόγου μετὰ τῶν ἄλλων.

ιβ') Συγκλήσεις τῶν συλλόγων ὑπὸ τοῦ ἡμετέρου εἰς σύνοδον.

Τοιοῦτοι ἦσαν οἱ δώδεκα προδιαγραφέντες ἡράκλειοι τοῦ Συλλόγου ἆθλοι, χωρὶς τῶν ἄλλων αὐτοῦ τακτικῶν ἐργασιῶν, οἷον ἀναγνωσμάτων, δημοσίων διαλέξεων καὶ λοιπῶν, ἄξιοι τῆς μεγαλεπηβόλου φιλομαθείας αὐτοῦ καὶ τῆς δραστηριότητος. *Ἀλλ' ἄλλαι μὲν βουλαὶ ἀνθρώπων, ἄλλα δὲ Θεὸς κελεύει*· τοσαῦται γὰρ τρομεραὶ θύελλαι καὶ τρικυμίαι τοῦτο τὸ ἔτος ἐνέσκηψαν, ὥστ' ἐδέησε πολλῶν φροντίδων, ὅπως μὴ τὸ τοῦ Συλλόγου σκάφος καταποντισθῇ· καὶ τοῦτο μὲν εὐτυχῶς τῶν κινδύνων διεσώθη, οὐχὶ ὅμως καὶ ἄνευ χρηματικῶν ζημιῶν, ἐξ ὧν πολλαὶ καὶ σπουδαῖαι ταραχαὶ εἰς τὰς ἐργασίας αὐτοῦ ἐπῆλθον, καὶ οὔτε ἡ κατάρτισις τῆς Βιβλιοθήκης καὶ τοῦ

Digitized by

Ἀναγνωστηρίου, οὔτε ἡ τῶν ἐπιστημονικῶν συλλογῶν, οὔτε ἡ ἀγορὰ τῶν ὀργάνων τῆς πειραματικῆς φυσικῆς ἐτελέσθησαν, ἄλλως τε καὶ τῆς κακῆς καὶ ἀφωτίστου καταστάσεως τῶν πρὸς τὸ νέον τοῦ Συλλόγου καθίδρυμα φερουσῶν ὁδῶν κωλύματα παρεμβαλλούσης. Τούτων δ' οὖν οὕτως ἐχόντων οὔτε ὁ Σύλλογος ἠδυνήθη μετοικίσασθαι καὶ τὸ νέον τοῦτο καταλαβεῖν καθίδρυμα, οὔτε αἱ διαρκεῖς αὐτοῦ ἐπιτροπαί, ἡ ἐπιστημονικὴ μάλιστα καὶ ἡ ἀρχαιολογική, βιβλίων καὶ τῶν καταλλήλων περιοδικῶν στερούμεναι, τακτικὰς ἐποιήσαντο ἐργασίας καὶ ἔχουσιν ἡμῖν γενναιότερα τῶν πέρυσι πεπραγμένων ἐπιδείξασθαι. Διὰ τὰς αὐτὰς δὲ τῆς χρηματικῆς κρίσεως αἰτίας ἀνεβλήθη ἐν αἰσιωτέροις καιροῖς καὶ ἡ κατὰ τοῦτο τὸ ἔτος ὁρισθεῖσα τῶν συλλόγων σύνοδος καὶ ἡ σύστασις τοῦ τε Μακεδονικοῦ καὶ τοῦ ὑπὲρ τῆς γυναικείας παιδεύσεως Συλλόγου.

Καὶ τοιαῦτα μὲν τὰ μὴ τελεσθέντα ἐκ τῶν προεπηγγελμένων, τὰ δὲ πεπραγμένα καὶ κατωρθωμένα πλείονα· καὶ πρῶτον μὲν αἱ πρὸς ἀποπεράτωσιν τῆς οἰκοδομῆς δισχίλιαι ἐξευρέθησαν λίραι, ὥστε σήμερον τῆς οἰκοδομῆς ἀποπερατωθείσης ἔχομεν *πᾶ στῶμεν*· ἡ δ' ἐπὶ τῆς οἰκοδομῆς ἐπιτροπὴ (1) ἐκ τούτων εὐκολυνθεῖσα τά τε ἄλλα καλῶς εὐτρεπίσαι ἐφιλοτιμήσατο καὶ ἔπιπλα ἀγοράσαι ὅσ' ἀναγκαῖα, ὅπως ἀξιοπρεπὴς κατὰ ταύτην τὴν ἡμέραν τοῦ φιλομούσου κοινοῦ γένηται καὶ φιλόφρων ὑποδοχή· εἰς τοῦτο δὲ οὐ μικρὸν καὶ τὰ προσφιλέστατα τέκνα τοῦ Συλλόγου, ὁ Ἠπειρωτικὸς καὶ ὁ Θρᾳκικός, *πατρὶ φίλῳ ἐπίηρα φέροντες*, συνετέλεσαν ἀνὰ πεντήκοντα λίρας ἑκάτερος χορηγήσαντες. Ὁ δὲ Σύλλογος τὸ νέον αὐτοῦ καταλαμβάνων καθίδρυμα καὶ μέλλων εἰς τὸ ἑξῆς ἐν αὐτῷ ἐργάζεσθαι, ἀχάριστος λογισθήσεται, ἂν μὴ ἐν ταύτῃ τῇ δημοτελεῖ πανηγύρει τὴν βαθεῖαν αὐτοῦ πρὸς τοὺς φιλομούσους ἐκείνους ἄνδρας ἐκφράσῃ εὐγνωμοσύνην, οἵτινες διὰ τοῦ ὁβολοῦ αὐτῶν τὸ περικαλλὲς τοῦτο ἱδρύσαντο οἰκοδόμημα, τῆς φιλομαθείας αὐτῶν καὶ τῆς φιλογενείας μαρτύριον. Τούτοις ὄντως ἐθνικὴ ὀφείλεται εὐγνωμοσύνη· ἐφ' ᾧ καὶ πίναξ τὰ ὀνόματα αὐτῶν περιέχων ἐν τῇ αἰθούσῃ ταύτῃ ἀναρτηθήσεται, καὶ στήλη δὲ λιθίνη ἐν τῇ αὐλῇ κείσεται, ὅπως ἡ μνήμη αὐτῶν ἐσαεὶ καὶ εἰς τὰς ἐπερχομένας παραδοθῇ γενεάς.

(1) Μέλη αὐτῆς Κ. Καραπάνος, Ξ. Ζωγράφος, Ι. Μίλλιγεν, Ἠρ. Βασιάδης, Ἰ. Γκιών.

Εἶτα πόροι οὐ μικροὶ καὶ διαρκεῖς πρὸς ἔκδοσιν τῶν Ἑλλήνων συγγραφέων ἐξευρέθησαν· διότι ὁ Φιλολογικὸς Σύλλογος τοσοῦτον σπουδαῖον καὶ ἐθνικὸν ἔργον τὴν ἔκδοσιν τῶν ἑλλήνων συγγραφέων θεωρεῖ, ὥστε πολλάκις, ἐξ οὗ συνέστη, περὶ τούτου λόγον ἐποιήσατο, καὶ ἐν τῷ κανονισμῷ δὲ (ἄρθρ. 73 καὶ 81) ὡς ἐν τῶν κυριωτάτων αὐτοῦ μελημάτων ἀνέγραψε, πολλὰς καὶ μεγάλας τὰς ἐκ τῆς ἀνελίξεως καὶ διηνεκοῦς μελέτης τῶν ἀρχαίων θησαυρῶν προσδοκῶν ὠφελείας· διότι ὁ ἑλληνικὸς νοῦς ἐπὶ τούτων τῶν μεγαλοφυῶν συγγραφέων ἐποχούμενος μέχρι τῶν ἀκροτάτων τοῦ ἀνθρωπίνου πνεύματος κορυφῶν ἀνυψωθῆναι ἠδυνήθη καὶ πρότυπον γενέσθαι (1), καὶ ὑπογραμμὸς τοῖς

(1) « Ἐπειδὴ τὰ ἑλληνικὰ γράμματα πρωτότυπά εἰσι, τοσοῦτον ἰσχυρῶς πᾶσι συνετέλεσαν τοῖς ἄλλοις, ὅσα κατὰ τὸ μᾶλλον ἢ ἧττον ἐκ ξένων ἠρύσαντο πηγῶν καὶ ἐπὶ φιλολογικῶν στηρίζονται μελετῶν· οἷον τὰ μὲν ρωμαϊκὰ ἐξ ὑποτελῶν πρὸς τὴν τελείαν ἀνεξαρτησίαν καὶ ἐκ τῆς μιμήσεως εἰς τὴν ἐλευθέραν δημιουργίαν χωρήσαντα κανόνα καὶ πρότυπον ἔχουσιν αὐτὰ τὰ ἑλληνικά· ἀλλὰ καὶ αὐτὴ ἡ οἰκουμένητος Ἀνατολὴ παντοῖα ὕστερον παρ' αὐτῶν ὑπεκκαύματα ἐδείξατο· ἐπὶ δὲ τῶν νεωτέρων φιλολογιῶν τὸ μὲν ἀμέσως, τὸ δὲ πλεῖστον ἐμμέσως διὰ τῆς ρωμαϊκῆς ἡ ἑλληνικὴ ποίησις ἐπενέργησε· καὶ αὕτη μὲν ἡ ἐπιρροὴ τῷ ἔπει μάλιστα καὶ τῷ δράμματι κατάδηλός ἐστιν, ἀφανεστέρα δὲ τῇ λυρικῇ ποιήσει ἐξ ἀτομικῶν μᾶλλον καὶ ἐθνικῶν ἐμπνεύσεων τρεφομένη· ἀλλὰ καὶ τὰ ὑποτελῆ εἴδη, οἷον ἡ βουκολικὴ τῶν Ἀλεξανδρινῶν ποίησις καὶ ἡ μυθιστορία τῆς ὑστεροχρόνου σοφιστικῆς, καὶ αὐτά γε μὴν τὰ μικροῦ ἄξια, ὡς τὰ Ἀνακρεόντεια ᾄσματα, πολλὰς ἔχουσι μιμήσεις ἐπιδείξασθαι.

« Ἐπειδὴ τὰ ἑλληνικὰ γράμματα ὄντως πρωτότυπά εἰσι, κέκτηνται καὶ γνήσιον ἐθνικὸν χαρακτῆρα· τὰ ἔργα τῆς ἑλληνικῆς φιλολογίας καὶ τέχνης κοινόν τινος καὶ εὐκρινοῦς εὐμοιροῦσι τύπου· ἀλλ' ὅμως οὐδὲν ἔχουσι τὸ ξένον· τοὐναντίον ἡμεῖς οἷοι εἶναι νομίζομεν, ὅταν ἐπὶ τοῦ ἀρχαίου ἐκείνου ἐδάφους διατρίβωμεν, διότι ἐν τοῖς ἔργοις τῆς ἑλληνικῆς φιλολογίας καὶ τέχνης συγγενεῖ ἀεὶ ἐντυγχάνομεν πνεύματι· ὅ,τι δὲ κατ' εἶδος καὶ καθ' ὕλην ἐν αὐτοῖς ἐκδηλοῦται, αὐτὸ τὸ ἀνθρώπινόν ἐστι καὶ φυσικόν, οὐδέποτε ὑπὸ τεχνιτῶν ἀσχημιζόμενον κοσμημάτων, οὗ ἕνεκα κοινῇ καταληπτόν ἐστι καὶ πάντοτε ἐν τιμῇ». Bergk αὐτοθ. σελ. 5. Τοιαῦτα δέ τινε λέγει (Études sur l'éloquence attique pag. 79) καὶ ὁ Γαλάτης Jules Girard. «Tel est en effet le privilége des belles œuvres de la Grèce: elles ont un caractère si original, elles se sont en naissant si naturellement pénétrées de l'influence d'une société particulière, si profondément empreintes des mœurs et de l'esprit du peuple qui les a produites, qu'elles se reconnaissent à première vue et qu'il est impossible de les confondre avec celles des autres pays; et cependant le développement des

ἐπερχομένοις, τὴν ἀληθῆ ταμῶν τοῦ ἀνθρωπίνου πολιτισμοῦ ὁδὸν καὶ πορείαν. Διὸ οἱ Ἕλληνες συγγραφεῖς λαμπρὸν καὶ ζωοπάροχον ἐπιχέοντες φῶς εἰσι καὶ ἔσονται ἀεὶ ἡ ἱερὰ βίβλος τῶν πεπολιτισμένων ἀνθρώπων. Τούτων δὲ τῶν ἀρχῶν ἐμφορούμενος ὁ Σύλλογος καὶ τὴν περὶ τοῦ Ζωγραφείου διαγωνίσματος πρὸς ἔκδοσιν τῶν ἑλλήνων συγγραφέων ἔγραψεν ἐπιστολὴν πρός τε τοὺς ἡμετέρους λογίους, καὶ πρὸς τοὺς ἀλλογενεῖς ἑλληνιστὰς ὀρθῶς καὶ δικαίως τούτους οἰκείους λογιζόμενος καὶ συγγενεῖς κατὰ πνεῦμα, τὸ πλεῖστον τοῦ βίου αὐτῶν εἰς τὴν σπουδὴν κατατρίβοντας (1) καὶ μελέτην τῶν ἑλλήνων συγγραφέων καὶ ἐπὶ τούτῳ ἐναβρυνομένους· καὶ δὴ πολλοὶ τούτων ἅσμενοι τὴν προσηγορίαν ταύτην καὶ τὴν συνεργασίαν ἀποδεξάμενοι τὸν διφυᾶ ἐν ταῖς πρὸς τὸν Σύλλογον ἐπιστολαῖς αὐτῶν ἀνομολογοῦσι τοῦ Ἑλληνισμοῦ χαρακτῆρα (2), τόν τε ἴδιον τὸν ἐθνικόν, καὶ τὸν γενικὸν τὸν ἀνθρώπινον. Ἀλλὰ περὶ τῆς ἐκδόσεως τῶν ἑλλήνων συγγραφέων πολλὰς τὰς δυσχερείας παρεχούσης ἡ φιλολογικὴ ἐπιτροπὴ ἰδίαν καθυποβαλεῖ τῷ Συλλόγῳ ἔκθεσιν.

Ὁ δὲ Σύλλογος τοιαῦτα φρονῶν καὶ γράφων περὶ τῆς καλλιεργείας τῶν ἀρχαίων γραμμάτων, οὐδαμῶς τῆς δημοτικῆς ὠλιγώρησε παιδεύσεως, ἀλλὰ τοὐναντίον τὸ περὶ αὐτῆς ζήτημα λογιζόμενος περὶ πνευματικῆς ζωῆς ἢ θανάτου τοῦ ἔθνους ζήτημα, ἀτρύτους μόχθους καὶ ἀγῶνας κατέβαλε, τὸ μὲν τὴν συνδρομήν, ὡς εἴδομεν, τῶν εὐπορούντων ὁμογενῶν ἐπικαλούμενος καὶ ὅσον οἷόν τε πλείονα ὑπὲρ τῶν ἐν ταῖς ἐπαρχίαις ἀπόρων δημοτικῶν σχολείων προσποριζόμενος χρήματα, τὸ δὲ πρὸς τοὺς ἀρχιερεῖς γράφων καὶ πρὸς τοὺς Συλλόγους καὶ πρὸς τὰς δημογεροντίας καὶ ἐφορίας τῶν σχολείων καὶ ὑποδεικνύων, τίς ἡ δημοτικὴ παίδευσις, ποῖα τὰ ἐξ αὐτῆς ἀγαθά, καὶ διὰ τίνων μέσων ἐπανθῆσαι δύναται καὶ κοινοτάτη πάσαις ταῖς τοῦ ἡμετέρου ἔθνους τάξεσι γενέσθαι.

Ἐκ δὲ τῶν ἐπιτροπῶν ἡ μὲν διαρκής, ἡ *Ἐκπαιδευτική* (1), τὰ ἐκ τῶν ἐπαρχιῶν πρὸς τὸν Σύλλογον διακόσια καὶ δεκαεξ ἀποσταλέντα ἔγγραφα, ἐξ ὧν ἑκατὸν καὶ τεσσαράκοντα καὶ δύο ἐκθέσεις περὶ τῆς καταστάσεως τῶν σχολείων, παραλαβοῦσα καὶ ταῦτα μετὰ συντόνου διελθοῦσα προσοχῆς, καὶ τὰς ἐλλείψεις καὶ τὰς ἀνάγκας ἑκάστης ἐπαρχίας ἐξετάσασα, τὴν ἑαυτῆς συνέταξε σπουδαίαν ἔκθεσιν, ἣν ὅσον οὔπω ὁ εἰσηγητὴς αὐτῆς ὁ κ. Κ. Καλλιάδης ἀναγνώσεται, καὶ ἐξ ἧς γενήσεται ὑμῖν γνωστὸν ποῦ αἱ χίλιαι καὶ διακόσιαι λίραι ἀπονεμηθήσονται. Ἡ δὲ πρὸς σύνταξιν τῶν κανονισμῶν τῶν διδασκαλείων ἐπιτροπὴ ἐκ μελῶν τοῦ Φιλολογικοῦ, τοῦ Ἠπειρωτικοῦ, τοῦ Θρᾳκικοῦ Συλλόγου ἀπαρτιζομένη (2) καὶ ἐξ ἄλλων λογίων πολλάκις συνελθοῦσα καὶ συσκεψαμένη τούς τε κανονισμοὺς καὶ τὰ προγράμματα τῶν μαθημάτων τῶν δημοτικῶν σχολείων συνέταξε· ταῦτα δὲ τῷ Συλλόγῳ καθυποβληθέντα μετὰ τῆς ἐκθέσεως, ἣν ἐν τρισὶ συνεδριάσεσιν ὁ εἰσηγητὴς τῆς ἐπιτροπῆς ὁ κύριος Γ. Χασιώτης ἀ-

---

arts qui les a créés a été si logique et si regulier, qu'ils sont presque immédiatement arrivés à des formules définitives et à des principes qui sont aujourd'hui nos lois. Ainsi ils ont eu une maturité précoce, et leurs chefs-d'œuvre ne vieillissent pas; ainsi malgré l'initiation qui nous est nécessaire pour en comprendre complétement la nature, ils sont pour nous les objets éternels d'une étude et d'une admiration fécondes».

(1) Ὁ διάσημος τοῦ Ἀριστοτέλους μεταφραστὴς Barthélémy Saint-Hilaire εὐχαριστῶν τῷ Συλλόγῳ ἐπὶ τῇ ἐκλογῇ αὐτοῦ ὡς μέλους ἐπιτίμου μεταξὺ ἄλλων καὶ τάδε γράφει· J'ai consacré ma vie presqu'entière au culte de l'antiquitté Hellénique; et je l'admire de plus en plus à mesure que je la connais davantage. J'attache un très grand prix à tout ce qui, des nos jours, peut contribuer à entretenir les impérissables souvenirs qu'elle nous a laissés».

(2) Ὁ σοφὸς ἐκδότης τοῦ Αἰσχύλου καὶ Εὐριπίδου Henri Weil ῥητῶς ὁμολογεῖ τοῦτο ἐν τῇ πρὸς τὸν Σύλλογον ἐπιστολῇ αὐτοῦ. «Votre idée, λέγων, d'associer à la distribution des prix fondés par M. Zographos les Hellénistes de l'occident de l'Europe me semble digne des sentiments élévés du donataire et des tendances à la fois *nationales et humanitaires* de votre, j'ai le droit de dire, de notre Σύλλογος».

---

(1) Μέλη αὐτῆς Γ. Σοφοκλῆς πρόεδρος, Κ. Καραθεοδωρῆ, Ξ. Ζωγράφος. Κ. Καραπάνος, Ι. Ἀριστοκλῆς, Α. Βαφιάδης. Β. Πυλάδης, Μ. Πανταζῆς καὶ Κ. Καλλιάδης εἰσηγητής.

(2) Ἐκ τῶν Ι. Ἀριστοκλέους, Ξ. Ζωγράφου ἀντιπροσώπων τοῦ Ἑλλ. Φιλολ. Συλλόγου, Βασιάδου, Γ. Χασιώτου καὶ Παρνίκα τοῦ Ἠπειρωτικοῦ, Δ. Μαλιάδου καὶ Α. Ζωηροῦ τοῦ Θρᾳκικοῦ, καὶ ἐκ τῶν ἐπὶ τούτῳ προσκληθέντων Φιλ. Βρυενίου σχολάρχου τῆς Μεγάλης τοῦ Γένους Σχολῆς, Κ. Ξανθοπούλου Γυμνασιάρχου τῆς ἐν Σμύρνῃ Εὐαγγελικῆς Σχολῆς, Α. Μαρούλη διευθυντοῦ τοῦ ἐν Σέρραις Διδασκαλείου, Γ. Σοφοκλέους σχολάρχου τῆς ἐν Πέρᾳ ἐνοριακῆς Σχολῆς καὶ Μ. Πανταζῆ καθηγητοῦ τοῦ ἐν Σταυροδρομίῳ Ἑλλ. Λυκείου.

Digitized by Google

νέγνω, καὶ ἐπιδοκιμασθέντα ὅσον οὔπω δημοσιευθήσονται· ἐξ ὧν πολλὰ τὰ ἐπελπιζόμενα ἀγαθά, διότι οὐ μόνον τὰ ἡμέτερα βελτιωθήσονται καταδεικνυομένης τῆς σπουδαιότητος τῶν δημοτικῶν σχολείων καὶ τῶν διδασκαλείων καὶ θεραπευομένων τῶν ἐλλείψεων, ἀλλὰ ταῦτα καὶ ὡς παράδειγμα τοῖς συνοικοῦσιν ἡμῖν ἔθνεσι χρησιμεύσουσι τὰ ἡμέτερα δυναμένοις εὐκολώτερον καὶ προσφορώτερον ἢ τὰ τῶν Εὐρωπαίων ἀρύεσθαι καὶ πρὸς τὰ ἴδια ἑαυτῶν μεθαρμόζειν· ὀρθῶς γὰρ πολλοὶ τῶν τῆς ἑσπερίας Εὐρώπης λογίων εἶπόν τε καὶ ἔγραψαν, ὅτι τὰ ἀμέσως ἐξ Εὐρώπης μετοχετευόμενα καὶ ἄνευ διαλογῆς καὶ καθαρτικῆς διηθήσεως εἰς τὴν Ἀνατολὴν κενούμενα βλάπτουσι μᾶλλον ἢ ὠφελοῦσιν· ὀρθῶς δ' ὡσαύτως ἐγνωμάτευσαν, ὅτι ἡ συνάπτουσα τὴν Εὐρώπην τῇ Ἀνατολῇ γέφυρα ἡ ἑλληνικὴ φυλή ἐστι· τοιαύτη δέ τις γέφυρα καὶ ὁ ἡμέτερος οὐ καθίσταται Σύλλογος ἔνθεν μὲν περί τε ἄλλων καὶ περὶ τῆς ἐκδόσεως τῶν ἑλλήνων συγγραφέων μετὰ τῶν σοφῶν ἑλληνιστῶν συνεννοούμενος, ἔνθεν δὲ διὰ τῶν δημοτικῶν σχολείων καὶ διδασκαλείων εὔχυμον παρασκευάζων τροφὴν καὶ ταύτην τοῖς συνοικοῦσιν ἡμῖν λαοῖς ἑτοίμην μετοχετεύων; Τοῦτο οὐκ ἔστιν ἡ ὑψίστη τοῦ ἑλληνισμοῦ ἀποστολή; Διὸ ἐθνικῆς εὐγνωμοσύνης καὶ πολλῶν στεφάνων ἀξία ἐστὶν ἡ φιλόμουσος ξυνωρίς, Χρηστάκης Ζωγράφος καὶ Γεώργιος Ζαρίφης, διδασκαλεῖα ἱδρύσασθαι διανοηθέντες πρὸς κατάρτισιν δημοδιδασκάλων καὶ διδασκαλισσῶν, ὁ μὲν ἐν Κεστορατίῳ τῆς Ἠπείρου, ὁ δ' ἐν Φ.λιππουπόλει τῆς Θράκης, ὧν ἡ ἵδρυσις τῶν γνωστῶν ἕνεκεν αἰτιῶν βραδύνασα τὸ ἐπιὸν ἔτος βεβαίως ἀποπερατοῦται.

Ἐκ δὲ τῶν μελῶν τῆς πρὸς σύνταξιν τῶν κανονισμῶν τῶν διδασκαλείων ἐπιτροπῆς ἄλλη ὑπὸ τοῦ Συλλόγου ἐκλεχθεῖσα πενταμελὴς (1) τὸ πρόγραμμα συνέταξε τοῦ Καραπανείου ἀγωνοθετήματος πρὸς βράβευσιν διδακτικῶν τῆς δημοτικῆς παιδεύσεως βιβλίων· ὃ καθυποβληθὲν τῷ Συλλόγῳ καὶ ἐπιδοκιμασθὲν αὐτίκα δημοσιευθήσεται· πρὸς ἔπαινον δὲ τῆς χρησιμωτάτης ταύτης τοῦ κυρίου Καραπάνου ἀγωνοθεσίας, ἀνδρὸς τόν τε λόγιον καὶ τὸν κερδῶον θεραπεύοντος Ἑρμῆν καὶ δυναμένου νοῆσαί τε καλῶς καὶ τὰ νοηθέντα ταχέως ἐπιτελέσαι, κρίνω περιττὸν εἰπεῖν τι, διότι πάντες εἴδετε αὐτόν, ὅτε πέρυσι καὶ προπέρυσι πρόεδρος ἦν τοῦ Συλλόγου, μεθ' ὁπόσου ζήλου ὑπὲρ τῆς βελτιώσεως καὶ τῆς προαγωγῆς τῆς δημοτικῆς παιδεύσεως ἐμόχθει. Ἄλλη δ' ἐπιτροπὴ (1) ἐκ μελῶν τῶν τριῶν Συλλόγων πρὸς ἐκλογὴν διδακτικῶν ὁρισθεῖσα βιβλίων, ἃ δωρεὰν οἱ Σύλλογοι τοῖς ἐν ταῖς ἐπαρχίαις ἀπόροις σχολείοις διανέμουσιν, ἐργάζεται ὅπως ἀνεύρῃ καὶ ἐκλέξῃ τὰ βελτίω· ἡ δ' Ἀρχιγένειος ἐπιτροπὴ (2) ἐκ τριῶν ἀπαρτιζομένη μελῶν τοῦ Φιλολογικοῦ καὶ ἐκ τριῶν τοῦ Θρᾳκικοῦ Συλλόγου κατ' αἴτησιν συνέστη τῆς χήρας Ἀρχιγένους πρὸς ἀναθεώρησιν τῶν κανονισμῶν τῶν Ἀρχιγενείων ἐκπαιδευτικῶν καθιδρυμάτων καὶ πρὸς μεταρρύθμισιν τῶν ἐλλειπῶς ἢ κακῶς ἐχόντων.

Ἐκ τούτων βλέπετε, φιλόμουσος ὁμήγυρις, ὅτι οἱ πρὸς διάδοσιν τῆς δημοτικῆς παιδεύσεως μόχθοι καὶ ἀγῶνες τοῦ Φιλολογικοῦ Συλλόγου οὐ σμικροί εἰσιν· ἀλλ' οὐδ' οὕτως οὔπω πάντας συμπεριλαβεῖν τοὺς τῆς δημοτικῆς παιδεύσεως κλάδους κατώρθωσε· διότι τὰ χάριν τοῦ λαοῦ σχολεῖα, τὰ κυριακὰ καὶ ἑσπερινὰ λεγόμενα, λείπουσιν ἔτι· περὶ ὧν ἐσκέψατο μὲν ἄλλοτε καὶ ἐμερίμνησεν, ἀλλὰ τὸ πρὸς ἵδρυσιν αὐτῶν σχέδιον ἐκεῖνο ἀνεκτέλεστον ἔμεινεν· εὐτυχῶς ὅμως ἄλλος Σύλλογος, ἡ ἐν Κωνσταντινουπόλει Μακεδονικὴ Φιλεκπαιδευτικὴ Ἀδελφότης, κατώρθωσεν ἀπό τινος χρόνου σχολεῖον τοῦ λαοῦ ἱδρύσασθαι λίαν εὐδοκιμοῦν, ὡς ἐμάθομεν, καὶ ὡς ἐκ τινος ἐξάγεται συντόμου ἐκθέσεως περὶ αὐτοῦ ὑπὸ τῆς Ἀδελφότητος πρὸς τὸν Σύλλογον ἀποσταλείσης, ἐξ ἧς ἐπιτραπήτω μοι τὰ ἑξῆς ἀναγνῶναι. « Ἡ ἐδελφότης ἐσκέφθη νὰ ἐξεύρῃ τρόπον περισυνάξεως ἁπάντων τῶν ἐν Κωνσταντινουπόλει παρεπιδημούντων Μακεδόνων, ὅπως χορηγῇ αὐτοῖς πρακτικὴν διδασκαλίαν, ὅσην ἐπιδέχεται ἡ κατάστασις καὶ ἡ ἡλικία καὶ οἵαν ἡ κοινωνικὴ αὐτῶν θέσις ἀπαιτεῖ. Διὸ ἐσχημάτισε *τὸ τοῦ λαοῦ σχολεῖον*, ἐν ᾧ μετὰ πολλῆς τῆς ἠθικῆς εὐχαριστήσεως βλέπει ἐπιστεφόμενον τὸ αὐτῆς ἐγχείρημα ὑπὸ ἐπιτυχίας πλήρους, φοιτώντων ἤδη εἰς αὐτὸ τριακοσίων ἐργατικῶν παίδων, οἵτινες τὰς μὲν ἐξ τῆς ἑβδομάδος ἡ-

(1) Μέλη αὐτῆς Βασιάδης, Μαλιάδης, Ἀριστοκλῆς, Ζωηρός, Χασιώτης.

(1) Ἐκ μὲν τοῦ Φιλ. Συλλόγου μέλη αὐτῆς Ἀριστοκλῆς, Σοφοκλῆς, Πανταζῆς, ἐκ δὲ τοῦ Ἠπειρωτικοῦ Μαλιάδης, Μ. Παρανίκας, Χασιώτης, ἐκ δὲ τοῦ Θρᾳκικοῦ Ζωηρός, Ζωγράφος, Μαλιάδης.

(2) Ἐκ μὲν τοῦ Φιλολογικοῦ Μαυρογένης, Ξ. Ζωγράφος, Χρ. Χατζηχρήστου, ἐκ δὲ τοῦ Θρᾳκικοῦ Βασιάδης, Ζωηρός, Ζωγράφος.

Digitized

ἡμέρας ἐργάζονται τὸ ἑαυτῶν ἐπιτήδευμα, τὴν δ' ἑβδόμην συρρέουσιν ἐν τῷ ἑαυτῶν σχολείῳ ἵν' ἀποκτήσωσι τὸ πολύτιμον ἐκεῖνο δῶρον, ὅπερ ἐστέρησεν αὐτοὺς ἡ πονηρία τῶν χρόνων· ἡ δὲ Ἀδελφότης παρέχει αὐτοῖς δωρεὰν τὰ βιβλία καὶ τὴν γραφικὴν ὕλην. Οὕτω πλουτιζόμενοι τὸν νοῦν διὰ πραγματικῶν καὶ ὠφελίμων γνώσεων ἐξοικονομοῦσι συνάμα καὶ τοὺς καρποὺς τῶν ἑαυτῶν ἱδρώτων, οὓς μετ' ἀπιστεύτου συνήθως σπατάλης διασκορπίζουσιν αἱ ἐργατικαὶ τάξεις κατὰ τὰς ἡμέρας τῆς ἀργίας».

Τὸ παράδειγμα τοῦτο τῆς Μακεδονικῆς Ἀδελφότητος πολλῶν ἐπαίνων καὶ μιμήσεως ἄξιόν ἐστι· καὶ ὁ μὲν ἡμέτερος Σύλλογος εἰς τὸ πρῶτον αὐτοῦ ἐπανερχόμενος σχέδιον δύω τοῦ λαοῦ σχολεῖα συστῆσαι ἐψηφίσατο· ἀλλ' εὐχῆς ἔργον, ἵνα οἱ ἄλλοι σύλλογοι περὶ συστάσεως τοιούτων σχολείων μεριμνήσωσι, καὶ μάλιστα ὁ Ἠπειρωτικός, διότι οὐκ ὀλίγοι τοῦ ἠπειρωτικοῦ λαοῦ ἐνταῦθα διαμένοντες ὅλως εἰσὶν ἀγράμματοι καὶ ἀστοιχείωτοι. Καὶ ταῦτα μὲν περὶ τῆς δημοτικῆς παιδεύσεως.

Μεγάλας δὲ φροντίδας ὁ Σύλλογος καὶ περὶ συλλογῆς κατέβαλε τῶν ζώντων μνημείων ἐν τῇ γλώσσῃ τοῦ λαοῦ, τὸ μὲν πρόγραμμα τοῦ περὶ αὐτῶν Ζωγραφείου διαγωνίσματος τελειότερον ἐπεξεργασάμενος καὶ συμπληρώσας, μετ' αὐτοῦ δὲ συναποστείλας πρὸς τοὺς ἐν ταῖς ἐπαρχίαις Συλλόγους (1) καὶ πρὸς τὰς ἐφορείας τῶν σχολείων καὶ πρὸς τοὺς διδασκάλους καὶ ἄλλους λογίους καὶ ἐγκύκλιον, παρακελευόμενος, ὅπως περὶ τὴν συλλογὴν τῆς γλωσσικῆς ὕλης συντονώτερον ἀσχοληθῶσιν. Ἀλλὰ δυστυχῶς οὔτε αἱ τοῦ Συλλόγου προτροπαὶ καὶ παρακελεύσεις οὔτε ἡ ἐτησίως χορηγουμένη δεκάλιρος ἀμοιβὴ ταῖς τελειοτέραις δέκα συλλογαῖς πανταχοῦ γνωσταὶ ἐγένοντο· διότι μόλις δέκα καὶ ἓξ τῷ Συλλόγῳ ἐπέμφθησαν συλλογαί, πέντε μὲν ἐκ τῆς μουσολήπτου καὶ καλλικελάδου Θράκης, μία δ' ἐκ τῆς μεγαλουργοῦ Μακεδονίας, δύο δ' ἐκ Θεσσαλίας, ἓξ δ' ἐξ Ἠπείρου, δύο δὲ τελευταῖον ἐκ Λευκάδος. Ἀλλὰ καὶ αὗται πάνυ ὀλίγα περιέχουσιν ᾄσματα, καίπερ πανταχοῦ ἀφθονοῦντα καὶ περιᾳδόμενα, ὀλίγα δέ εἰσι καὶ τὰ παραμύθια ἐν αὐταῖς καὶ αἱ πρὸς ὑποστήριξιν τῶν σημασιῶν τῶν λέξεων φράσεις. Τί δὴ πράττουσιν οἱ σύλλογοι καὶ οἱ πλεῖστοι τῶν διδασκάλων καὶ τῶν λογίων ἔν τε τῇ Θράκῃ καὶ ἐν τῇ Μακεδονίᾳ καὶ ἐν τῇ Θεσσαλίᾳ καὶ ἐν τῇ Ἠπείρῳ καὶ ἐν ταῖς νήσοις τοῦ Αἰγαίου καὶ ἐν τῇ Ἑλάσσονι Ἀσίᾳ; Ἀργοῦσι καὶ βαθὺν καθεύδουσιν ὕπνον, εἰς οὐδεμίαν τῶν ζώντων μνημείων συλλογὴν ἀσχολούμενοι, ἀγνοοῦντες, ὡς ἔοικε, τίνες πολύτιμοι θησαυροὶ ἀπολεσθῆναι κινδυνεύουσι, μόλις ἄσυλον εὑρίσκοντες καὶ διασωζόμενοι ἔτι ἐν τῇ καταρρεούσῃ τῶν φιλομύθων γερόντων καὶ γραιῶν μνήμῃ, οὐδ' ἐνθυμούμενοι, ὅτι οὐ μόνον οἱ τῶν πόλεων, ἀλλὰ καὶ οἱ ἑκάστης κώμης καὶ χωρίου διδάσκαλοι μεγάλας ὠφελείας τῇ ἡμετέρᾳ φιλολογίᾳ παρασχεῖν δύνανται τὰ ἐν τῇ γλώσσῃ τοῦ λαοῦ περισωζόμενα ἀνασκαλεύοντες καὶ συλλέγοντες.

Ταῦτα ὁ Φιλολογικὸς Σύλλογος ἀναλογιζόμενος καὶ δευτέραν πέμψαι ἐπιστολὴν ἀπεφάσισε πρός τε τοὺς Συλλόγους καὶ πρὸς τοὺς διδασκάλους καὶ πρὸς τοὺς ἄλλους λογίους, συναποστέλλων καὶ αὖθις τὸ πρόγραμμα καὶ προτρέπων αὐτούς, ὅπως μετὰ συντόνου σπουδῆς περὶ τὴν συλλογὴν ἀσχοληθέντες τῶν ζώντων μνημείων περίδοξον καὶ ὄντως ἑλληνικὸν μνημεῖον τῷ ἑλληνικῷ λαῷ ἀνεγείρωσιν, οὐ λίθινον οὐδὲ χαλκοῦν τῷ χρόνῳ φθειρόμενον καὶ καταστρεφόμενον, ἀλλ' ἄφθαρτον καὶ ἀθάνατον. Τοιαῦτα μὲν τὰ παρὰ τοῦ Συλλόγου, ἐλπίσωμεν δὲ ὅτι τῇ φιλοτίμῳ τῶν συλλόγων συμπράξει καὶ τῇ τῶν διδασκάλων ἀόκνῳ συνεργασίᾳ ὁ θερισμὸς τὸ ἐπιὸν ἔτος ἔσται ἀφθονώτερος, καὶ εἰ μὴ ἑκατὸν καὶ πλείονες, ἀλλὰ τοὐλάχιστον πεντήκοντα ἀποσταλήσονται συλλογαί, ὅπως ἐν τῷ τοῦ Συλλόγου Περιοδικῷ, ὃ ἀπὸ τούτου

---

(1) Πρὸς τοὺς Συλλόγους περὶ Συλλογῆς τῶν ζώντων μνημείων.

Κύριε Πρόεδρε,

Ὁ Ἑλληνικὸς Φιλολογικὸς Σύλλογος θεωρῶν πάντοτε τὰ διάφορα ἐν Τουρκίᾳ Φιλεκπαιδευτικὰ Σωματεῖα κέντρα τελεσιουργὰ ὑπὲρ τῆς διαδόσεως τῶν γραμμάτων ἐν τῷ ἡμετέρῳ Ἔθνει, ἅτμενος δράττεται πάσης εὐκαιρίας, ὅπως ἔρχηται μετ' αὐτῶν εἰς στενωτέρας σχέσεις κοινοποιῶν ἑκάστοτε πᾶν ὅ,τι κρίνει συντελοῦν εἰς τὴν ἀνάπτυξιν καὶ καλλιέργειαν τῶν γραμμάτων. Τοῦτ' αὐτὸ ποιῶν καὶ νῦν παρακαλεῖ Ὑμᾶς καὶ τὰ λοιπὰ ἀξιότιμα τοῦ ὑμετέρου Συλλόγου μέλη νὰ καταστήσητε ὅσον οἷόν τε γνωστὰς κατὰ τὴν Ὑμετέραν περιφέρειαν τὰς ἐσωκλείστους περὶ συλλογῆς ζώντων μνημείων ἐν τῇ γλώσσῃ τοῦ Ἑλληνικοῦ λαοῦ ἐγκυκλίους αὐτοῦ, πέμποντες αὐτὰς ἀσφαλῶς πρὸς τοὺς λογίους καὶ διδασκάλους καὶ προτρέποντες αὐτοὺς νὰ ἀποδυθῶσιν εἰς τὸν ἀγῶνα καὶ ἀποστείλωσι τῷ Φιλολογικῷ Συλλόγῳ συλλογὰς τῶν ζώντων μνημείων καλῶς ἐπεξειργασμένας καὶ ἀξίας νὰ τύχωσι τῆς ὡρισμένης ἀμοιβῆς.

Ἐπὶ τούτοις δέξασθε τὴν διαβεβαίωσιν τῆς πρὸς Ὑμᾶς ὑπολήψεως.

Digitized by Google

τοῦ ἔτους ἄρξεται τῆς δημοσιεύσεως αὐτῶν, πολύτομος καὶ πολύτιμος συμπεριληφθῇ γλωσσικὴ ὕλη. Ὁ δὲ Σύλλογος καὶ πρὸς τὸν ἐν Ἐνετίᾳ καθηγητὴν τῶν ἑλληνικῶν γραμμάτων, μέλος δὲ αὐτοῦ ἀντεπιστέλλον τὸν κύριον Τριανταφύλλην, ἔγραψεν ἐπιστολὴν παρακαλῶν ἵνα μεριμνήσας συλλέξῃ τὰ ἔτι ἐν Σικελίᾳ καὶ ἐν τῇ μεσημβρινῇ Ἰταλίᾳ περιφδόμενα ἑλληνικὰ ᾄσματα καὶ ταῦτα μετὰ τῶν ἤδη ἰταλικοῖς γράμμασι προεκδεδομένων πέμψῃ πρὸς αὐτόν(1).

Ἡ δὲ Φιλολογικὴ Ἐπιτροπὴ(2) τὴν τοῦ Ζωγραφείου ἀγωνοθετήματος ἐπιτετραμμένη κρίσιν περὶ τῆς συλλογῆς τῶν ζώντων μνημείων, τὰς δέκα καὶ ἓξ παραλαβοῦσα συλλογὰς καὶ ταύτας ἀκριβῶς ἐξετάσασα, ἑπτὰ μόνον τούτων ἀμοιβῆς εὗρεν ἀξίας· καὶ τὴν μὲν περὶ αὐτῶν γλαφυρὰν ἔκθεσιν ὁ εἰσηγητὴς τῆς Ἐπιτροπῆς, ὁ κ. Χασιώτης, ἀναγνώσεται. Ἀλλ' ἴσως ὡς ὑπέκκαυμα πρὸς ἀφθονωτέραν γλωσσικῆς ὕλης συλλογὴν ἔσται καὶ τόδε· ἂν αἱ τριάκοντα λίραι, τὸ τῶν ἑκατὸν ὑπόλοιπον, εἰς ἀγορὰν δαπανηθῶσι βιβλίων τοῖς περὶ τὰ τοιαῦτα ἀσχολουμένοις χρησίμων, οἷά εἰσιν αἱ δημοτικῶν ᾀσμάτων συλλογαὶ τοῦ Fauriel, Ζαμπελίου, Χασιώτου, Πασσωβίου, καὶ ἡ ὑπὸ Βενιζέλου συλλογὴ τῶν παροιμιῶν καὶ τὰ παρόμοια, καὶ ταῦτα πρὸς ὁδηγίαν μετὰ τῆς ἐκθέσεως τῆς Φιλολογικῆς Ἐπιτροπῆς καὶ τοῦ Περιοδικοῦ τοῦ Συλλόγου τοῖς βραβευομένοις ἀπονεμηθῶσι καὶ τοῖς ἄλλοις τοῖς ὁπωσοῦν εὐδοκιμοῦσι· διότι πάντες σχεδὸν οἱ συλλογεῖς φαίνονται γλωσσολογικῶν βιβλίων σπανίζοντες. Τὸ δὲ Συμβουλίδειον διαγώνισμα θέμα ἔχον τὴν τοῦ Πόντου τοπογραφίαν καὶ τὴν συλλογὴν τῶν ζώντων μνημείων ἐν ταῖς τοπικαῖς τῶν χωρῶν ἐκείνων διαλέκτοις πολλὰ τὰ ἀρχαῖα καὶ περίεργα διασωζούσαις, εἰς τὸ ἐπιὸν ἔτος ἀναβάλλεται.

Ἀλλ' οὐδ' ἡ συλλογὴ τῶν ἐν ταῖς ἐπαρχίαις ἐγκατεσπαρμένων ἐπιγραφῶν, οὐδ' ἡ ἐπιστημονικὴ ἐξέτασις καὶ συλλογὴ καὶ διάσωσις τῶν ἀρχαίων μνημείων ὠλιγωρήθησαν ὑπὸ τοῦ Συλλόγου, ἀλλὰ καὶ περὶ τούτων, ἐξ ἰδίων ἐπὶ τοῦ παρόντος μὴ δυνάμενος δαπανᾶν καὶ ἀποστέλλειν ἄνδρας ἐπιστήμονας ἐπὶ ἀρχαιολογικαῖς ἐρεύναις, ἐπιστολὴν ἔπεμψε πρὸς τοὺς ἐν ταῖς ἐπαρχίαις Συλλόγους καὶ τοὺς λογίους, θερμῶς αὐτοῖς συνιστῶν τὴν συλλογὴν καὶ διάσωσιν τῶν ἐπιγραφῶν καὶ τῶν ἄλλων ἀρχαίων μνημείων δι' ἣν ἔχουσιν ἱστορικήν τε καὶ ἐθνικὴν καὶ ἀρχαιολογικὴν σπουδαιότητα, καὶ δι' ἣν τοσαύτη ἀπό τινος χρόνου κίνησις τῶν Συλλόγων καὶ Ἀκαδημιῶν τῆς ἑσπερίας Εὐρώπης ἐπεγένετο, ὥστε οἱ μὲν τῶν ἀρχαιολόγων τὰ ἀρχαῖα τῆς Μακεδονίας μνημεῖα ἐπισκεψόμενοι καὶ ἀνερευνήσοντες ἀπέρχονται, οἱ δὲ τὰ τῆς Θράκης, οἱ δὲ τὰ τῆς Θάσου καὶ Σαμοθράκης, οἱ δὲ τὰ τῆς Κρήτης, οἱ δὲ τὰ τῆς Κύπρου, οἱ δὲ τὰ τῆς Ἁλικαρνασσοῦ, οἱ δὲ τὰ τῆς Ἐφέσου, οἱ δὲ τὰ τῆς Τρωάδος, οἱ δὲ τὰ τῆς Φρυγίας, οἱ δὲ τὰ τῆς Παμφυλίας, καὶ ἄλλοι ἄλλα. Τίς Ἕλλην τοσαύτην βλέπων κίνησιν καὶ τοσαύτας ἀρχαιολογικὰς ἀνακαλύψεις ἐν ταῖς ἡμετέραις χώραις ὑπὸ ξένων ἄνευ ἡμῶν γιγνομένας οὐκ ἀλγεῖ τὴν καρδίαν; Τίς δὲ τῶν εὐπορούντων ὁμογενῶν οὐ καταβαλεῖ προθύμως χρήματα τοῖς Συλλόγοις χάριν ἀρχαιολογικῶν ἐρευνῶν ἐν ταῖς ἐπαρχίαις; ἀλλὰ τίνος ἕνεκα πᾶσι μὲν τοῖς ἄλλοις ἀφειδῶς χορηγοῦντες καὶ προχέοντες τὸν πλοῦτον αὐτῶν, μόνον τῇ ἐν Ἀθήναις Ἀρχαιολογικῇ Ἑταιρίᾳ φειδωλότατοί εἰσι, μηδεμίαν μέχρι τοῦδε ποιησάμενοι αὐτῇ προσφορὰν ἐκ τῶν γενναίων ἐκείνων καὶ ὄντως ἑλληνικῶν, ὅπως καὶ αὕτη δυνηθῇ ἀξίως τῆς ἐν ᾗ οἰκεῖ πόλεως καὶ τῆς Ἑλλάδος ἁπάσης γενναιότερα ἐπιχειρῆσαι ἀρχαιολογικὰ ἔργα καὶ εἰς πέρας ἀγαγεῖν; Μέχρι τίνος ἄλλοις ἐάσομεν τὴν φροντίδα τὴν πατρῴαν ἡμῶν αὐτῶν κληρονομίαν ἀνασκαλεύειν καὶ περιεργάζεσθαι; μὴ καὶ αὐτοὶ οἱ ξένοι οὐ παρορμῶσιν ἡμᾶς εἰς ἀρχαιολογικὰς ἐρεύνας τῶν τε ἄλλων χωρῶν καὶ τῶν τῆς ἐλάσσονος (1) Ἀσίας; Διὸ

(1) Ὁ κ. Τριανταφύλλης τὴν τοῦ Συλλόγου κομισάμενος ἐπιστολὴν εὐθὺς ἀπήντησε λίαν εὐγενῶς. «Δέχομαι εὐχαρίστως τὴν ἐντολήν, ἵνα πέμψω εἰς τὸν Σύλλογον τὰ ἐν τῇ μεσημβρινῇ Ἰταλίᾳ Ἑλληνικὰ ᾄσματα, ἀλλὰ σᾶς παρακαλῶ νὰ λάβητε ὀλίγην ὑπομονὴν μέχρις οὗ κατορθώσω νὰ συλλέξω αὐτά».

(2) Μέλη αὐτῆς Βασιάδης πρόεδρος, Μ. Παρανίκας, Αἰμίλιος Νοννότης, Χρ. Χατζηχρήστου, Δ. Τάγης γραμματεὺς καὶ Γ. Χασιώτης εἰσηγητὴς τῆς ἐκθέσεως τοῦ περὶ τῶν ζώντων μνημείων Ζωγραφείου ἀγωνοθετήματος.

(1) Ὁ πολλὰς ἐπαρχίας τῆς ἐλάσσονος Ἀσίας ἐπισκεψάμενος καὶ πολλὰς ἐπιτυχεῖς ποιησάμενος ἀνακαλύψεις G. Perrot μεταξὺ ἄλλων γράφει πρὸς τὸν πρόεδρον τοῦ Συλλόγου καὶ τάδε· «J'ai l'honneur de lui envoyer pour sa bibliothèque, différentes dissertations publiées, à divers moments, dans la Revue Archéologique, et qui se rapportent à une contrée que vous avez à votre portée et où quelques-uns de vos confrères ne manqueron

Digitized by Google

μυρίων ἐπαίνων ἄξιος ὁ ἐν Ἐδέσσῃ (Βοδενοῖς) τῆς Μακεδονίας Σύλλογος, ὃς ταῖς τοῦ ἡμετέρου Συλλόγου ὑπείκων ὑποθήκαις καὶ προτροπαῖς ἐν τῇ ἐκθέσει (1) περὶ τῆς πνευματικῆς τῆς ἐπαρχίας καταστάσεως καὶ τὰς ἀνευρεθείσας καὶ ὑπὸ τοῦ εὐπαιδεύτου αὐτοῦ γραμματέως, τοῦ κυρίου Δημητρίου Πλαταρίδου, ἀντιγραφείσας ἐπιγραφὰς παρενέβαλεν, ἅμα δὲ καὶ χάρτην τῆς ἐπαρχίας τοπογραφικὸν προσέθηκεν· ἄξιοι δὲ πολλῶν ἐπαίνων καὶ ὁ ἀκάματος τῆς Φιλιππουπόλεως σχολάρχης Βλάσιος ὁ Σκορδέλης καὶ ὁ ἐν Κυζίκῳ καλὸς κἀγαθὸς ἰατρὸς καὶ ταῖς ἐννέα μούσαις μάλα περιλημένος Νικόλαος ὁ Λήμνιος τὰς ἐν ἐκείναις ταῖς χώραις ἀνευρισκομένας ἐπιγραφὰς τῷ Συλλόγῳ ἀποστέλλοντες. Εἰ δὲ καὶ οἱ ἄλλοι λόγιοι τῶν ἐν ταῖς ἐπαρχίαις καὶ μάλιστα οἱ Σύλλογοι τῇ αὐτῇ, ἥ περ οὗτοι, ἐχρῶντο πρὸς ἔρευναν καὶ συλλογὴν τῶν ἀρχαίων μνημείων προθυμίᾳ, πολλὰ καὶ ἐπίζηλα ἐκεκτήμεθ' ἂν ἤδη μουσεῖα. Τί δὴ βραδύνει ὁ ἐν Ῥαιδεστῷ Θρᾳκικὸς Σύλλογος ἐν τῇ δημοσιευομένῃ ἐτησίᾳ αὐτοῦ ἐκθέσει συμπεριλαβεῖν καὶ ἃς ἐν τῇ ἑαυτοῦ βιβλιοθήκῃ φυλάττει ἐπιγραφὰς καὶ εἴ τι ἄλλο ἀρχαῖον; Τί δὴ καὶ οἱ ἄλλοι τῆς Θρᾴκης καὶ τῆς Μακεδονίας Σύλλογοι βραδύνουσιν, ὅσοι ἐπιγραφῶν καὶ ἄλλων ἀρχαίων μνημείων κάτοχοί εἰσιν; Οὐκ οἴδασιν ὅτι ταῦτα μαρτύρια εἰσιν ἀψευδῆ τῆς παρουσίας τῶν Ἑλλήνων καὶ ἐπικρατήσεως ἐν χώραις, ἃς νῦν καταπατεῖ καὶ ἄγει καὶ φέρει ἡ σκυθικὴ ἀμάθεια καὶ βαρβαρότης, πᾶν τὸ ἑλληνικὸν καταστρέφουσαι; Ἀγνοοῦσιν ἆρά γε, ὅτι τὸ περιλάλητον τῆς Θρᾴκης καὶ τῆς Μακεδονίας ἔδαφος τοσοῦτον τῇ τερψιθύμῳ τοῦ ἑλληνικοῦ πνεύματος αὖρᾳ, δὸς δ' εἰπεῖν καὶ τῷ ἱδρῶτι τοῦ ἑλληνικοῦ ἔθνους καὶ τῷ αἵματι συμπεφυρμένον ἐστί, καὶ τοσοῦτον ἀπ' αὐτῶν ἀχώριστον, ὥστε πολλὰ τῶν ἀρχαίων μνημείων, κάλλος ἀποπνέοντα ἑλληνικώτατον, ἐν τοῖς ἑαυτοῦ κόλποις ἐγκρύπτει, ὅπως ἐν καιρῷ ἑκάστοτε ἀνακαλυπτόμενα κατὰ τῶν σκυθικῶν ἁρπαγῶν καὶ καταστροφῶν διαμαρτύρονται; Χθὲς ἔτι τὴν ἐν Ἀχρίδι μητροπολίτιδα ἐκκλησίαν τοῦ ἁγίου Κλήμεντος καταλαβεῖν ἀξιούντων ὡς οὖσαν κτίσμα Στεφάνου τοῦ ἡγεμόνος τῆς Σερβίας ἐπιγραφαὶ ἑλληνικαὶ ἀνακαλυφθεῖσαι ἐν αὐτῷ τῷ ναῷ οὐκ ἐξήλεγξαν ψευδῆ τὴν ἀξίωσιν ταύτην, ἀποδείξασαι ὅτι ἡ ἐκκλησία ἦν κτίσμα ἑλληνικόν;

Χωρὶς δὲ τούτων αἱ ἐπιγραφαὶ καὶ σπουδαῖα ἐγείρουσι γλωσσολογικὰ ζητήματα· οἷον αἱ ἀπό τινων ἐτῶν ἐν Κύπρῳ ἀνακαλυφθεῖσαι ἑλληνίζουσι μὲν φαίνονται γεγραμμέναι, ἀλλ' ἐν γραφῇ συλλαβικῇ ὅλως ἰδιαζούσῃ καὶ ἐγχωρίῳ καὶ ὑπὸ τεσσαράκοντα καὶ ἐννέα γραμμάτων ἀπαρτιζομένῃ, τὰ δὲ πάθη τῶν φθόγγων λίαν περίεργά εἰσι μαρτυροῦντα καθ' ἡμᾶς, ὅτι αἱ ἑλληνικαὶ λέξεις γεγραμμέναι εἰσὶν ὑπὸ ξένων, ὡς ὑπ' αὐτῶν ἐξεφωνοῦντο μὴ δυναμένων μὲν σύμφων' ἀλλεπάλληλα προφέρειν, φωνήεντα δὲ παρεμβαλλόντων (1), ἢ προτασσόντων αὐτὰ ἐν τῇ ἀρχῇ τῶν λέξεων, ὡς νῦν συνήθως οἱ Ὀθωμανοὶ ποιοῦσιν (2), ὅταν λέξεις ἑλληνικὰς προφέρωσι· ταῦτα δ' ἐπείσακτα ὄντα καὶ ξενικὰ οὐδ' ἐκ φυσικῆς καὶ ὀργανικῆς, οὕτως εἰπεῖν, τῆς ἑλληνικῆς γλώσσης ἐξελίξεως προελθόντα κατάδηλον ποιοῦσι τὴν ταραχήν, ἣν οἱ φθογγολογικοὶ (3) τῆς ἐν Κύπρῳ ἑλληνικῆς διαλέκτου νόμοι τῇ τῶν ξένων ἐπιρροῇ ὑπέστησαν.

---

certainement pas de porter un jour ou l'autre leurs pas et leurs recherches, où il y a encore tant à découvrir».

(1) Ἡ ἔκθεσις αὕτη μετὰ τῶν ἐπιγραφῶν καὶ τοῦ χάρτου ὅσον οὔπω δημοσιεύεται.

(1) Οἷον δροκος=ὅρκος, Στασικαράτης=Στασικράτης, τόρονος=τόρνος, φερενά=φαρνά, ἰζελά=ἰσθλά, γότολις=(πότολις)=γτόλις=πτόλις, Γολογῶν=Γολγῶν. Ἰδ. τὸ ἄρθρον τοῦ σοφοῦ Moriz Schmidt ἐν τῇ Ἰεναΐᾳ Φιλολογικῇ Ἐφημερίδι τοῦ 1874.

(2) Οἷον κιλίτ=κλειδίον, κελίσα=ἐκκλησία, Γκιριτ=Κρήτη, Τριέμπολου καὶ Ταραμπολούς=Τρίπολις, Σεμενδερέκ=Σαμοθράκη, Ἀρεσμιδές=Ἀρχιμήδης, Πατλάμιος=Πτολεμαῖος, Φιράτ=Εὐφράτης, Φιλατούν καὶ Ἐφλατούν=Πλάτων, Ἰσταῦρος=Σταῦρος, Ἰσμίρ=Σμύρνη, Ἰψαρά=Ψαρά, Ιφτερά—πτερά.

(3) «Ἰωάννης ὁ Brandis κατώρθωσεν οὐ μόνον Κυπριακὴν γραφὴν ἐκ τεσσαράκοντα καὶ ἐννέα στοιχείων συγκροτουμένην ὁρίσαι, ἀλλὰ καὶ νόμους φθογγολογικοὺς ἀγνώστους τέως καὶ ὑπὸ μηδενὸς μνημονευομένους καὶ συντακτικοὺς ἰδιωτισμοὺς τῆς Κυπριακῆς διαλέκτου ἀνακαλύψαι». Moriz Schmidt αὐτόθ. σελ. 3 Ἐκ τῶν ἀνακαλυφθέντων βεβαίως νόμων ἐστὶ καὶ ὁ περὶ παρεμβολῆς φωνηέντων· ἀλλ' οὔτε ὁ Brandis οὔτε ὁ Schmidt οὐδένα λόγον ποιοῦνται περὶ τῆς ἐπιρροῆς τῶν ἀσιατικῶν λαῶν τοῖς Ἕλλησιν ἀναμιχθέντων τε καὶ συγχωνευθέντων οὐ μόνον ἐν ταῖς νήσοις, ἀλλὰ καὶ ἐν ταῖς τῆς ἐλάσσονος Ἀσίας ἐπαρχίαις, καὶ ἐξ ὧν σπουδαῖαι μεταβολαὶ εἰς τοὺς φθόγγους τῶν ἑλληνικῶν διαλέκτων ἐπεισῆλθον· καλὸν ὁμως ἦν ἐξετάσαι τίνες φθογγολογικοὶ νόμοι τῶν ἑλληνικῶν διαλέκτων ὄντως γνήσιοι ἑλληνικοί εἰσι καὶ τίνες ἐπείσακτοι ἐκ τῆς τῶν ξένων ἐπιμιξίας προελθόντες, ὧν εἷς ἐστιν, ὡς ἐμοὶ δοκεῖ, καὶ ὁ περὶ παρεμβολῆς τῶν φωνηέντων ἐν τῇ Κυπριακῇ διαλέκτῳ, οἷος ἐν ταῖς μνημονευθείσαις ἐπιγραφαῖς ἐμφαίνεται.

Digitized by Google

Αἱ δὲ σχέσεις τοῦ Συλλόγου μετὰ τῶν ἄλλων πολλαὶ καὶ ποικίλαι εἰσί, διότι καὶ οἱ Σύλλογοι πολλοί, δέκα μὲν καὶ ἓξ ἐν Κων/πόλει, ἑξήκοντα δὲ περίπου ἐν ταῖς ἐπαρχίαις, πολλὰ μὲν καὶ διάφορα φέροντες ὀνόματα, οἷον *φιλολογικοί*, *φιλεκπαιδευτικοί*, *φιλόμουσοι*, *Σύλλογοι*, *Ἀδελφότητες*, *Ἀναγνωστήρια* καὶ τὰ λοιπά, ἑνὸς δὲ καὶ τοῦ αὐτοῦ ζοχαζόμενοι σκοποῦ, τῆς καλλιεργείας δηλονότι καὶ διαδόσεως τῶν γραμμάτων κατὰ τὰς ἡμετέρας χώρας. Πρὸς πάντας δὴ τούτους ὁ Φιλολογικὸς Σύλλογος ἀεὶ φιλικὴν τείνει χεῖρα καὶ ἀδελφικῶς δεξιοῦται καὶ ὑποστηρίζει ὅλαις δυνάμεσι, καλῶς γινώσκων, ὅτι οἱ ἐν ταῖς ἡμετέραις χώραις Σύλλογοι, ὡς κέντρα διανοητικὰ καὶ ἑξίαι φωτοβόλοι, ὅσῳ πληθύνονται καὶ συνενοῦσι τὰς ἑαυτῶν ἀκτῖνας, τοσούτῳ καὶ τὸ φῶς ἐκπέμπουσι λαμπρότερον καὶ τελεσιουργότερον. Διὸ περί τε τῆς συστάσεως αὐτῶν ὅσον οἷόν τε προνοεῖ καὶ κήδεται, καὶ εἰς τὴν ἀνάπτυξιν δὲ αὐτῶν καὶ προαγωγὴν οὐ μικρὸν συντελεῖ, πᾶσαν αὐτοῖς παρεχόμενος προθύμως ἀρωγὴν λόγῳ τε καὶ ἔργῳ. Τίς οὐκ οἶδεν ὅτι τῷ Ἠπειρωτικῷ, τῷ Θρᾳκικῷ, τῷ Ἱερατικῷ, τῷ Θεσσαλικῷ καὶ δωμάτια παρεχώρησεν ἐν τῷ νεοδμήτῳ αὐτοῦ καθιδρύματι, ὅπως συνοικῶσι μετ' αὐτοῦ καὶ εὐκολώτερον συνεργάζωνται;

ἀ δὲ χεὶρ τὰν χεῖρα νίζει, δάκτυλος δὲ δάκτυλον.

Ἀλλὰ καὶ οἱ Σύλλογοι οἵ τε ἐνταῦθα καὶ οἱ ἐν ταῖς ἐπαρχίαις ἄσμενοι πᾶσαν τῷ Φιλολογικῷ Συλλόγῳ παρέχουσι πληροφορίαν καὶ συνεργασίαν, τιμῶντες αὐτὸν καὶ γεραίροντες ὡς πρεσβύτερον ἀδελφὸν καὶ πατέρα καὶ ὡς πρόθυμον ἐν πᾶσι συνεργάτην αὐτοῖς καὶ συναντιλήπτορα. Εἰ δὲ αἱ κινήσεις τῶν Συλλόγων ἔστιν ὅτε καὶ αἱ ἐνέργειαι ἀκανόνιστοί εἰσι, τοῦτο φυσικόν ἐστι τῆς θερμουργοῦ νεότητος καὶ τῆς ἀπειρίας αὐτῶν ἀποτέλεσμα. Οἱ Σύλλογοι, καὶ αὐτοὶ οἱ τελειότατοι, οὔτε ἀκαδημίαι εἰσὶν ἐξακριβοῦσαι καὶ ἐξονυχίζουσαι τὰ φιλολογικά, τὰ γλωσσολογικά, τὰ ἀρχαιολογικὰ καὶ ἐπιστημονικὰ ζητήματα, οὔτε πανεπιστήμια ὑψηλότερον καὶ ἐπιστημονικώτερον διδάσκοντα, ἀλλ', ὡς πολλάκις εἴρηται, ἁπλᾶ εἰσι φιλομαθείας καὶ διαδόσεως τῶν γραμμάτων ἐργαστήρια· ἀλλ' ἐπειδὴ ἡ φιλομάθεια ἕλκει τὴν διάνοιαν πρὸς τὴν ἀλήθειαν (1) καὶ τὴν ἐπιστήμην, οἱ Σύλλογοι ἐξ ἅπαντος, τοῦ χρόνου προϊόντος, τελειότεροι καταρτισθήσονται καὶ ἐπιστημονικώτεροι. Ἐπὶ τοῦ παρόντος θαυμασίως τὸν σκοπὸν δι' ὃν συνέστησαν ἐκτελοῦσι, περὶ ἐξαπλώσεως τῆς δημοτικῆς παιδεύσεως εἰς τὰς ἐπαρχίας μεριμνῶντες, ἐπόπτας ἀποστέλλοντες πρὸς ἐπίσκεψιν τῶν δημοτικῶν σχολείων, περιοδικὰς συντελοῦντες συνόδους τῶν δημοδιδασκάλων καὶ τὰς ἐλλείψεις καὶ ἀνάγκας ἐξετάζοντες τῆς δημοτικῆς παιδεύσεως καὶ τὴν δέουσαν ἐπάγοντες θεραπείαν, φροντίζοντες δὲ καὶ περὶ συλλογῆς τῶν ζώντων ἐν τῇ γλώσσῃ τοῦ λαοῦ μνημείων καὶ περὶ διασώσεως τῶν ἀρχαίων, συννοούμενοι περὶ τούτων καὶ συνεργαζόμενοι καὶ βοηθούμενοι πρὸς ἀλλήλους καὶ ἀνθαμιλλώμενοι

αἰὲν ἀριστεύειν καὶ ὑπείροχοι ἔμμεναι ἄλλων.

Ταῦτα φρονεῖ ὁ Φιλολογικὸς Σύλλογος καὶ κατὰ ταῦτα ἀεὶ πρὸς τοὺς ἀδελφοὺς Συλλόγους ἐπολιτεύσατο, ἐπιθυμῶν, ἵνα ἕκαστος αὐτῶν ἐλευθέρως μὲν καὶ ἀνεξαρτήτως ἀπὸ τῶν ἄλλων ὡς ἐν ὁμοσπονδιακῇ πολιτείᾳ ἐργάζηται, ἀλλ' οἱ πάντες ὑπὸ τοῦ αὐτοῦ πνεύματος, ὑπὸ τῶν αὐτῶν φρονημάτων καὶ ἀρχῶν ἐμφορῶνται καὶ πρὸς τὸν αὐτὸν τείνωσι σκοπόν, τὴν διάδοσιν τῶν γραμμάτων κατὰ τὰς ἡμετέρας χώρας.

Αἱ δὲ σχέσεις μετὰ τῶν ἐν τῇ ἀλλοδαπῇ Συλλόγων ὑψηλότεραί εἰσι, διότι καὶ εἰς τὸν γενικώτερον τοῦ ἑλληνισμοῦ ἀποβλέπουσι χαρακτῆρα· ὁ Φιλολογικὸς Σύλλογος ἰδίᾳ ἐπὶ τῇ εὐνοίᾳ σεμνύνεται, ἣν πρὸς αὐτὸν διατελεῖ ἔχων ὁ ἐν Παρισίοις πρὸς ἐμψύχωσιν τῶν ἑλληνικῶν σπουδῶν Σύλλογος, οὐ μόνον τὰ ἑαυτοῦ ἔργα ἀποστέλλων αὐτῷ καὶ ἄλλα βιβλία, ἀλλὰ καὶ περὶ τῶν ἡμετέρων φροντίζων. Τούτου μέλη τινὰ οὐχὶ τὰ ἐλάχιστα ἐπεθύμησαν ἀκριβεστέρας περὶ τῆς διανοητικῆς τῶν ἡμετέρων χωρῶν κινήσεως ἔχειν γνώσεις, ὧν τὴν ἐπιθυμίαν, ὡς γινώσκετε, ἐσπεύσαμεν ἐκπληρῶσαι πρὸς τοὺς ἐν ταῖς ἐπαρχίαις γράψαντες ἀδελφοὺς Συλλόγους καὶ πρὸς τοὺς λογίους τοῦ ἡμετέρου ἔθνους, ὅπως τὰς ἐπετηρίδας αὐτῶν πέμπωσι καὶ τὰ ἄλλα ἐκδιδόμενα βιβλία. Ὁ δὲ Φιλολογικὸς Σύλλογος τὸν ὀφειλόμενον τῆς εὐγνωμοσύνης οὐ παύεται ἀπονέμων φόρον καὶ τοῖς ἄλλοις ἑλληνισταῖς, μεθ' ὧν ὡς ἐπιτίμων αὐτοῦ μελῶν ζενὰς διατηρεῖ σχέσεις· μεθ' οἵας δ' εὐμενείας οὗτοι τὸ τοῦ Συλλόγου δίπλωμα ἀποδέχονται καὶ τί περὶ τῶν πνευματικῶν τοῦ ἡμετέρου ἔθνους ἐργασιῶν φρονοῦσι, καὶ τί ὑπὲρ

(1) «Τὸν τῷ ὄντι φιλομαθῆ πάσης ἀληθείας δεῖ εὐθὺς ἐκ νέου ὅτι μάλιστα ὀρέγεσθαι». Πλάτ. Πολ. ς' σελ. 485.

Digitized

αὐτοῦ εὔχονται, αἱ πρὸς τὸν Σύλλογον μαρτυροῦσιν ἐπιστολαὶ αὐτῶν.

Καὶ τοιαῦται μὲν αἱ γενικαὶ τοῦ Φιλολογικοῦ Συλλόγου ἐργασίαι· περὶ τὴν ἐξιστόρησιν αὐτῶν πολὺν κατετρίψαμεν χρόνον, διότι ἐν αὐταῖς κάλλιον καὶ λαμπρότερον αἱ ἀρχαὶ καὶ τὸ ἐνιαῖον τοῦ Συλλόγου πνεῦμα καταφαίνονται· κατέλθωμεν δὲ νῦν καὶ εἰς τὸν οἰκιακόν, οὕτως εἰπεῖν, καὶ ἰδιωτικὸν αὐτοῦ βίον καὶ ἐξετάσωμεν ἐν ὀλίγοις τὰ ἔργα αὐτοῦ.

Μέλη μὲν τακτικὰ τοῦτο τὸ ἔτος ἑνδεκα μόνον προσετέθησαν· ἐκ δὲ τῶν ἀρχαίων διεγράφησάν τινα τὴν ἐτησίαν αὐτῶν ἀποτῖσαι συνδρομὴν ἀπαρνησάμενα· ἐπίτιμα δὲ μέλη εἴκοσι καὶ ἑπτὰ ἐξελέγησαν ἔκ τε τῶν ἡμετέρων λογίων καὶ μάλιστα ἐκ τῶν ἀπανταχοῦ ἑλληνιστῶν δι' οὓς ἀνωτέρω εἴπομεν λόγους. Ὁ δὲ θάνατος ἀπεστέρησε τὸν Σύλλογον σπουδαιότατα μέλη· ἐκ μὲν τῶν τακτικῶν τὸν ἀγαπητὸν ἡμῶν φίλον καὶ συνάδελφον, τὸν ἰατρὸν Σαράντην Ἀρχιγένη. Τίνα λέληθεν ὅτι ὁ καλὸς κἀγαθὸς οὗτος ὁμογενὴς ἅπασαν τὴν μετὰ τοσούτων μόχθων καὶ ἱδρώτων περισυλλεχθεῖσαν μεγάλην περιουσίαν τοῖς παρ' αὐτοῦ ἐν τῇ ἰδίᾳ πατρίδι, τοῖς Ἐπιβάταις, ἀνεγερθεῖσι καθιδρύμασιν ἐκληροδότησε; Διὸ ὁ Σύλλογος τὴν γενναίαν ταύτην πρᾶξιν τιμῶν καὶ βουλόμενος αὐτὴν ἐσαεὶ προστήσασθαι παράδειγμα μιμήσεως ἄξιον, τὴν δὲ μνήμην τοῦ ἀνδρὸς παραδοῦναι καὶ ταῖς ἐπερχομέναις γενεαῖς, τὴν εἰκόνα αὐτοῦ παρὰ τῆς χήρας ἐξαιτησάμενος ἐν τῇ εὐρείᾳ ταύτῃ αἰθούσῃ ἀναρτήσεται· ἐκ δὲ τῶν ἐπιτίμων τὸν ἀκάματον τοῦ ἐν Ἀθήναις πρὸς διάδοσιν τῶν ἑλληνικῶν γραμμάτων Συλλόγου γενικὸν γραμματέα Γρηγόριον τὸν Παππαδόπουλον, τὸν γενναῖον ἐκεῖνον στρατιώτην καὶ θερμουργὸν πρόμαχον τοῦ ἑλληνισμοῦ, καὶ τὸν ἀτυχῆ φιλέλληνα Beulé ἐν παντὶ καὶ πάντοτε πρόθυμον τοῦ ἡμετέρου Γένους συνήγορον.

Ἐκ δὲ τῶν συνεδριάσεων τοῦ Συλλόγου ὀκτὼ μὲν ἦσαν ἔκτακτοι, εἴκοσι δὲ καὶ δύο τακτικαί, ἐν αἷς αἱ ἑξῆς ἀνεγνώσθησαν καὶ συνεζητήθησαν πραγματεῖαι, α') περὶ γενέσεως γλωσσῶν ὑπὸ Ι. Καρολίδου, β') στοιχεῖα γλωσσολογίας ὑπὸ Μ. Παρανίκα, γ') γλωσσολογικὰ μελετήματα ὑπὸ Ἡρ. Βασιάδου, δ') περὶ δημοσίας παιδεύσεως ὑπὸ Γ. Χασιώτου, ε') περὶ γυμναστικῆς ὑπὸ Α. Ζωηροῦ, ς') φυσιολογικαὶ μελέται ὑπὸ Σ. Μαυρογένους, ζ') τοπογραφία τῆς ἐπαρχίας Τούλτσης ὑπὸ Χρ. Παππαδοπούλου, η') περὶ ἐμπορίου τῶν Γενουηνσίων ὑπὸ Α. Πασπάτη, θ') ἔκθεσις Ι. Μίλιγγεν περὶ τινων ἐπιγραφῶν ἐν Θράκῃ καὶ ἐν Κυζίκῳ εὑρεθεισῶν, ι') περὶ χριστιανικῆς ποιήσεως τῶν Ἑλλήνων ὑπὸ Μ. Παρανίκα, ια') περὶ τῆς καταστάσεως τοῦ Ἐθνικοῦ Νοσοκομείου ὑπὸ Α. Πασπάτη, ιβ') ἔκθεσις τῆς πρὸς σύνταξιν τῶν κανονισμῶν τῶν διδασκαλείων ἐπιτροπῆς ἀναγνωσθεῖσα ὑπὸ Γ. Χασιώτου. ιγ') τεμάχια ἐκ τῶν ἐν Ῥωσσίᾳ ὁδοιπορικῶν τοῦ ἁγίου Παλμύρας Κυρίλλου, ιδ') περὶ μέσης παιδεύσεως ὑπὸ Μ. Παρανίκα, ιε') ἔκθεσις καὶ πρόγραμμα τῆς ἐπὶ τοῦ Καραπανείου ἀγωνοθετήματος πρὸς βράβευσιν διδακτικῶν τῆς δημοτικῆς παιδεύσεως βιβλίων ἐπιτροπῆς ὑπὸ Γ. Χασιώτου. Χωρὶς δὲ τούτων ἀνεγνώσθησαν καὶ διάφοροι ἐπιστολαὶ καὶ ἐκθέσεις πλεῖσται πρὸς τὸν Σύλλογον ἀποσταλεῖται περὶ τῆς ἐν ταῖς ἐπαρχίαις καταστάσεως τῆς παιδείας.

Αἱ δὲ δημόσιαι διαλέξεις, καίπερ ὑπὸ πολλῶν περιστοιχιζόμεναι δυσχερειῶν, ἐξ οὗ τὸ ὀλέθριον ἐκεῖνο τοῦ 1870 πῦρ βιβλία τε καὶ ὄργανα φυσικῆς ἀπετέφρωσε, γενναίως ὅμως εἰς τὰς πικρὰς ταύτας δοκιμασίας ἀντέσχον καὶ διατελοῦσι κατὰ τὸ μᾶλλον καὶ ἧττον ἐπιτυχῶς γιγνόμεναι· τὸ δὲ λῆξαν ἔτος τὴν τάξιν τοῦ προεκδοθέντος προγράμματος ἡ ἔκτακτος τοῦ χειμῶνος βαρύτης ὑπετάραξεν, ἐπί τινα χρόνον διακόψασα τὰ μαθήματα· ἀλλὰ καὶ οὕτω τριάκοντα καὶ ὀκτὼ ἐγένοντο διαλέξεις, ἤτοι ὁ μὲν Α. Σπαθάρης πεντάκις ἐδίδαξε *κοσμογραφίαν*, ὁ δὲ ἰατρὸς κ. Καραθεοδωρῆ ἑπτάκις *ἀνθρωπολογίαν*, ὁ δὲ Γ. Δημητριάδης ἑξάκις *πρακτικὴν καὶ ἐφηρμοσμένην γεωμετρίαν*, ὁ δὲ Ι. Καρολίδης *περὶ ψυχῆς καὶ σώματος*, *περὶ τοῦ τρίτου Καρχηδονικοῦ πολέμου*, καὶ τρὶς *περὶ ἐλευθέρας θελήσεως*, ὁ δὲ Ι. Ἀριστοκλῆς πεντάκις μὲν ὡμίλησε *περὶ Ἄθω*, τρὶς δὲ *περὶ τῶν ἀρχαιοτάτων λαῶν τῆς Ἀνατολῆς*, ὁ δὲ Α. Δημητριάδης δὶς ἐδίδαξεν *ἱστορίαν τῆς κλασικῆς φιλολογίας κατὰ τὸν Μεσαίωνα*, ὁ δὲ Χρ. Χατζηχρήστου τρὶς *περὶ ἀρχαίας Κωμῳδίας*, ὁ δὲ E. Rossi de Justiniani *περὶ τοῦ δαιμονίου τοῦ Σωκράτους* ὡμίλησε, καὶ τελευταῖον ὁ Φίλιππος Λούζης λυρικά τινα ἀπήγγειλεν ἐκ τῶν ἑαυτοῦ ποιημάτων.

Τοιαῦτα μὲν ἦσαν τὰ θέματα τῶν διαλέξεων, τὸ δὲ ἀκροατήριον προσεῖχε πᾶσι τὸν νοῦν καὶ εὐφραίνετο ἀκροώμενον. Ἀλλ' ἐν τῷ νέῳ καθιδρύματι καὶ αἱ δημόσιαι διαλέξεις ἀναντιρρήτως νέας προσκτήσονται δυνάμεις καὶ σπουδαιότεραι γενήσονται· ταύταις δὲ καὶ

Digitized

ἕτερα προστεθήσονται νέα μαθήματα ἁπλούστερα καὶ στοιχειωδέστερα χάριν τῶν τέκνων τοῦ λαοῦ.

